ANALECTA AVARICA

COMPOSUIT

LEO STERNBACH.

CRACOVIAE,
SUMPTIBUS ACADEMIAE LITTERARUM.
APUD BIBLIOPOLAM SOCIETATIS LIBRARIAE POLONICAE.
(SPÓŁKA WYDAWNICZA POLSKA).
1900.

Seorsum impressum ex Tomo XXX Dissertationum philologicarum Academiae Litterarum Cracoviensis.

Cracoviae, 1900. — Typis Universitatis Jagellonicae, provisore Josepho Filipowski.

ANALECTA AVARICA.

Quae praecedunt commentationes tres, etiamsi egressus non vitantur, consilii communione ita sociatae sunt, ut historica potissimum Pisidae poemata in iudicii discrimen veniant. A quo proposito non aberrabimus, si appendiculae nonnullae adicientur, quae ad versus de bello Avarico (Av.) explanandos haud leve momentum adferant.

Quod corollarium nectenti gratissima visa est homilia a sacerdote quodam aequali composita, qui et belli spectator fuerat et ipsius Pisidae carmen saepius respexit. Ac primo quidem obtutu novitas libello non lenocinatur, quoniam homilia abhinc annos 47 ab Angelo Maio in Nova Patrum Bibliotheca vol. VI (Romae 1853) 2 p. 423-437 vulgata est, attamen editori principi contextus fundamentum truncus codex Vaticanus Gr. 1572[1]) f. 41^{v}—74^{r} praebuit, nobis solidam atque integram formam ex codice Parisino Suppl. Gr. 241 (membr. in fol., s. X) f. 32^{v}—53^{r} exprimere contingit[2]):

[1]) Saeculo X vindicatur a Maio, saec. XI — XII — XIII diversis manibus librum exaratum esse tradit 'Catalogus codicum hagiographicorum Graecorum bibliothecae Vaticanae' nuperrime (Bruxellis 1899) ab hagiographis Bollandianis et Pio Franchi de' Cavalieri concinnatus (p. 127).

[2]) *Quantum ex lemmatum ratione colligere licet, tertium* eiusdem narrationis exemplum adgnoscendum est in codice Escurialensi deperdito, quem hoc modo Nicolai de la Torre catalogus (cf. Stud. p. 205) f. 119^{v} sq. recenset (p. 377 n. 691 Miller): a) Ἰωάννου τοῦ Κλίμακος λόγος ἀσκητικὸς ἐν κεφαλαίοις λ̄ (= Patrol. Gr. vol. LXXXVIII p. 632 sqq.); — b) Χρυσοστόμου εἰς τό· πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ καὶ ἕκαστος τὸν ὑπὲρ αὐτοῦ λόγον δώσει (= ibid. LIX p. 619 sqq.); — c) τοῦ αὐτοῦ εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας Θεοτόκου (= ibid. LX p. 755 sqq.); — d) τοῦ αὐτοῦ εἰς τὰς δέκα παρθένους (= ibid. LIX p. 527 sqq.);— e) Νεκταρίου Κωνσταντινουπόλεως δι' ἣν αἰτίαν ἑορτάζομεν τὴν μνήμην τοῦ ἁγίου Θεοδώρου τοῦ τήρωνος τῷ πρώτῳ σαββάτῳ τῶν νηστειῶν (inc. f. 120^{r}) καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης (= ibid. XXXIX p. 1821 sqq.); — f) λόγος διαλαμβάνων περὶ τῶν ἀθέων Ἀβάρων καὶ Περσῶν κατὰ τῆς θεοφυλάκτου πόλεως καὶ ὅπως φιλανθρωπίᾳ Θεοῦ ἐρρύσθη ἀναχωρησάντων αὐτῶν μετ' αἰσχύνης.

Περὶ τῆς τῶν ἀθέων Βαρβάρων καὶ Περσῶν κατὰ τῆς θεοφυλάκτου ταύτης πόλεως μανιώδους κινήσεως καὶ τῆς φιλανθρωπίᾳ τοῦ Θεοῦ διὰ τῆς Θεοτόκου μετ᾽ αἰσχύνης ἐκείνων ἀναχωρήσεως.

Πόρρωθεν ὁρῶν τῇ προφητικῇ τοῦ θείου πνεύματος χάριτι τὴν εὐδοκίαν τοῦ Θεοῦ καὶ πατρὸς ἐκ τῆς Θεοτόκου τοῦ Θεοῦ Λόγου σάρκωσίν τε καὶ γέννησιν, Ἡσαΐας ὁ ἐν προφήταις ἐπίσημος ἐβόα καὶ ἔλεγεν· 'ἐπ᾽ ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε· μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν Ἰούδα· ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρίας'. Καὶ ταῦτα μὲν ἐνθέως ὁ προφήτης ἐφθέγξατο, ὄρος ὑψηλόν, ὡς οἶμαι, ὑπερνεφὲς καὶ ὑπέργειον τροπικῶς αἰνιττόμενος νοῦν ἀνωφερῆ καὶ μετάρσιον, μηδὲν τῶν προσύλων ὅτι μὴ πᾶσα ἀνάγκη προσιδεῖν ἀνεχόμενον· οἷος ὑπῆρχεν ὁ ἐκείνου νοῦς τε καὶ λόγος, καὶ ὅσοι κατ᾽ ἐκεῖνον τῆς ὁμοίας τοῦ πνεύματος ἠξιώθησαν χάριτος, προφῆται ἅμα καὶ οἱ ἀπόστολοι. Ἐπεὶ τοίνυν κἀνταῦθα πρόκειται λόγος, αὐτάς, ὡς εἰπεῖν, τὰς οὐρανίους ὑπερβαίνων ἀψῖδας τῷ θαύματι <διὰ> τὴν τοῦ Θεοῦ περὶ ἡμᾶς ὠδίνων πολυτρόπων ἀγαθότητα, τίς τοῦτον μαιεύσεται καὶ εἰς τοὐμφανὲς ἀγαγεῖν ἀνθρώποις δυνήσεται, εἰ μὴ προφητικὸς ὑπάρχοι καὶ τῆς θείας τοῦ πνεύματος ἠξιωμένος ἐλλάμψεως. Δεῦρο δὴ οὖν Ἡσαΐα θεσπέσιε, ἅτε μέγας ὑπάρχων νοῦς τὰ μεγάλα προθεώμενός τε καὶ προφθεγγόμενος, σύ μοι τὸν λόγον τῷ καλάμῳ τῆς προφητικῆς προδιαχάραξον χάριτος· δεῦρό μοι σὺ ὁ τὴν δόξαν τοῦ μονογενοῦς Θεοῦ καὶ τὸ τῆς παρθένου προδιαγράψας μυστήριον, ἐπείπερ τὸν θρόνον τοῦ Θεοῦ τεθέασαι καὶ τῶν Σεραφεὶμ τὸν ὕμνον ἀκήκοας καὶ τὸ ὑπέρθυρον ἤρθη σοι καὶ οὐδὲν τὸ κωλῦον εἰς αὐτὰ ἐγένετο διαπαντὸς τοῦ Θεοῦ τὰ ἀνάκτορα, σὺ καὶ τὸ παρόν μοι θαῦμα διαζωγράφησον καὶ δὸς ἰδεῖν ὡς ἐν σκιᾷ καὶ τύπῳ τῆς πάλαι Ἱερουσαλήμ, ὅσα νῦν φιλανθρωπίᾳ Θεοῦ ἡ Θεοτόκος ἐνεδείξατο ὑπὲρ τῆς πόλεως ταύτης θαυμάσιά τε καὶ τέρατα. Τίς δὲ ἡ εἰκὼν καὶ τί τὸ δι᾽ ἐκείνης σκιογραφούμενόν τε καὶ προτυπούμενον, ἔνθεν ἀκούσατε. Ἐβασίλευε πάλαι τοῦ οἴκου Δαβὶδ Ἄχαζ ὁ βασιλεύς, ὁ τοῦ λεπρωθέντος Ὀζίου υἱὸς καὶ τῆς κακίας ἅμα καὶ βασιλείας διάδοχος· εὐπτόητος γὰρ ἦν καὶ ὁ Ἄχαζ πρὸς ἁμαρτίαν καὶ πρὸς ἀνομίαν εὐόλισθος, ὅθεν οὐδὲ τὸ θεῖον δέχεται διδαχθῆναι τῆς παρθένου μυστήριον, καίπερ Θεοῦ διὰ τοῦ προφήτου κελεύσαντος εἰς βάθος ἢ εἰς ὕψος αἰτῆσαι τὸ σημεῖον αὐτῷ τῆς θείας δοθῆναι σαρκώσεως. Καὶ τὸ μὲν σημεῖον τῷ οἴκῳ Δαβὶδ δέδοται ἅμα καὶ τετελείωται· τέτοκε γὰρ ἡ παρθένος Θεὸν καὶ παρθένος πεφύλακται. Μεμένηκε δὲ Ἄχαζ τῆς ἀπειθείας εἰκὼν τοῦ Ἰουδαίων λαοῦ βοῶντος μέχρι τῆς σήμερον· 'οὐ μὴ αἰτήσω σημεῖον· οὐ γὰρ πειράσω τὸν κύριον'. Ἐβασίλευεν τοίνυν τῆς Ἱερουσαλὴμ ὁ Ἄχαζ· ἀλλ᾽ ἐν τούτῳ μοι μόνον ἀσύμφωνος ἡ εἰκὼν καὶ ἡ προφητικὴ διάφορος ὑποτύπωσις· πιστὸς γὰρ ὁ ἐμὸς βασιλεὺς καὶ τῆς εὐσεβείας χαρακτὴρ ἀπλανέστατος, ἅπασαν, ὡς εἰπεῖν, τὴν οἰκείαν ζωὴν τῇ μελέτῃ καὶ φυλακῇ τῶν θείων

ἐντολῶν προσανατιθέμενος καὶ ἅπαν εἰς τοῦτο προκαλούμενος τὸ ὑπήκοον. Πῶς οὖν οὐκ ἔμελλε μείζονος ἢ κατὰ τὴν Ἱερουσαλὴμ ἐκείνην ἡ πόλις αὕτη τεύξεσθαι συμμαχίας ἅμα καὶ θείας δυνάμεως, τοιοῦτον παρὰ Θεοῦ λαβοῦσα βασιλέα θεοφιλέστατον, ἔχουσα καὶ Ἡσαΐαν ἄλλον τὸν ἐμὸν ἱεράρχην, ἄϋπνον διαπαντὸς καὶ νήφοντι πνεύματι τὰ πρὸς Θεὸν τῷ λαῷ μεσιτεύοντα; Ἀλλά μοι τὰ λοιπὰ τῆς εἰκόνος, ὦ προφῆτα, διαζωγράφησον, ἐπείπερ τῶν βασιλέων πρόδηλος ἡ διαφορὰ καὶ ὁ τρόπος ἀσύγκριτος! Ὅτε τοίνυν Ἄχαζ τῆς Ἱερουσαλὴμ ἐβασίλευεν, Συρία καὶ ἡ Σαμάρεια συνθήκας πεποίηνται πορθῆσαι πόλιν τὴν Ἱερουσαλὴμ καὶ τὸ σπέρμα Δαβὶδ ἐξῶσαι τῆς βασιλείας, βασιλεῦσαι δὲ τὸν υἱὸν Ταβεήλ, τῆς ἐκείνων κακίας κοινωνὸν καὶ συνέμπορον. Αὐτὰ δὲ καλὸν ὑπαναγνῶναι τοῦ προφήτου τὰ ῥήματα, οὐ μόνον ὡς ἁγιωσύνης μεστὰ καὶ θείας γέμοντα χάριτος, ἀλλ' ὅπως καὶ νῦν ὁρῷτο προσκιογραφῶν ὁ προφήτης ἐπόψεσι τῶν ἀκουόντων ὑμῶν τὰ ἐν τύπῳ λεγόμενα· ʽἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ, υἱοῦ Ἰωάθαμ, υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥασὶν βασιλεὺς <Ἀρὰμ καὶ Φακεὲ υἱὸς Ῥομελίου, βασιλεὺς> Σαμαρείας ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτήν· καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ λέγων· συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραὶμ καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. Καὶ εἶπεν κύριος πρὸς Ἡσαΐαν· ἔξελθε εἰς συνάντησιν Ἄχαζ σὺ καὶ ὁ καταληφθεὶς Ἰασούβ, ὁ υἱός σου, πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ γναφέως· καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι καὶ μὴ φοβοῦ μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. Ὅταν γὰρ ἡ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι· καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ καὶ ὁ υἱὸς τοῦ Ῥομελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν κατὰ σοῦ λέγοντες· ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς ἀναστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ· καὶ οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη οὐδὲ ἔσται'. — Καὶ ἃ μὲν ὁ προφήτης ἱστορικῶς ἅμα καὶ τυπικῶς εἴρηκέν τε καὶ γέγραφεν, ταῦτά ἐστιν τοῖς μὲν ἐξ Ἰούδα τότε τὴν Ἱερουσαλὴμ οἰκοῦσιν ὡς ἐν σκιᾷ καὶ τύπῳ συμβαίνοντα, δι' ἡμᾶς δὲ προφητευόμενα, ἐφ' οὓς ὁ Θεὸς διὰ τῆς Θεοτόκου τὸν ἅπαντα τῆς ἰδίας φιλανθρωπίας ἐξέχεεν ἔλεον. Ὅρα γάρ, ὅτι καὶ τῷ Ἄχαζ, ἤτοι τῷ κατὰ σάρκα σπέρματι τοῦ Δαβὶδ καὶ δι' αὐτοῦ τῷ ἀπειθεῖ τῶν Ἰουδαίων λαῷ πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ γναφέως τὴν σωτηρίαν ὁ Θεὸς διὰ τοῦ προφήτου εὐαγγελίζεται, δεικνύντος τοῦ λόγου σαφέστατα, ὅτι πᾶσα σωτηρία, δι' ἧς τὸ ἀνθρώπινον ἐσώθη καὶ σώζεται καὶ σωθήσεται γένος, τῆς διδασκαλίας ἐξήρτηται τοῦ κατὰ Χριστὸν μυστηρίου· ἀγρὸν μὲν γὰρ τὸν κόσμον τοῖς ἀγωγῆς λόγοις οἶδα λεγόμενον· μικρὸς δὲ κόσμος ὁ ἄνθρωπος· καὶ κναφεὺς παρὰ τῇ γραφῇ ὁ τὸν ῥύπον καθαίρειν δυνάμενος τροπικῶς ὀνομάζεται. Δι' ὧν ἁπάντων δεδήλωται, ὅτι μετάνοια πρὸς τὸ βάπτισμα δι' ἐπιγνώσεως ἄγουσα τῆς ἄνω πορείας τὴν ὁδὸν τοῖς ἀνθρώποις χαρίζεται. Ἀλλά γε δὴ πρὸς νύσσαν ἐπανακτέον τὸν λόγον· τὸ γὰρ ἀπὸ σκοποῦ βάλλειν οὐκ εὔστοχον, κἂν ἐπιδέξια βάλλοι τις τὰ πεμπόμενα. Ἀκούσατε τοίνυν

ταῦτα πάντα τὰ ἔθνη· ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων (γηγενεῖς γὰρ ἔτι οἱ φρονοῦντες τὰ γήϊνα, υἱοὶ δὲ ἀνθρώπων οἱ τῆς εἰκόνος τῆς θείας φυλάττοντες τὸ ἀξίωμα)· δεῦτε τοίνυν ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν .... διὰ τῆς Θεοτόκου μεγαλεῖα ὁ τῶν δυνάμεων κύριος· διηγήσομαι δὲ οὐχ ἅπασαν, ὡς γέγονεν, τὴν τῶν πραγμάτων ἀκρίβειαν (αὕτη γὰρ καὶ τοὺς ἄγαν σοφοὺς ὑπερβέβηκεν), ἀλλ' ὅσον ἔχω δυνάμεως, συμμετρουμένου τοῦ λόγου τῇ εὐτελείᾳ τοῦ γράφοντος. Πάλαι μὲν κατὰ τῆς Ἱερουσαλὴμ ἐπεστράτευσε Συρία καὶ ἡ Σαμάρεια, ὧν ἦρχον, ὧν ἐβασίλευον Ῥασὶν μὲν ἐν Δαμασκῷ, ἐν δὲ τῇ Σαμαρείᾳ ὁ τοῦ Ῥομελίου υἱός, ἄρχοντες ἐθνῶν προσοίκων μὲν τῆς γῆς τοῦ Ἰούδα, τῇ δὲ γειτνιάσει καὶ τῇ βραχύτητι τῆς ἀρχῆς εἰκότως εὐκαταφρόνητοι· ἀλλ' ὅμως ἐξέστη ἡ ψυχὴ τοῦ Ἄχαζ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον σαλεύεται, καθάπερ καὶ τῶν προφητικῶν ῥημάτων ἀκούσατε. Κατὰ ταύτης δὲ τῆς πόλεως καὶ τοῦ ἐν αὐτῇ θεοφιλῶς σὺν εὐσεβεῖ γονεῖ βασιλεύοντος Χαλδαῖοί τε καὶ Ἀσσύριοι, οἱ ἄνωθεν τῶν κατ' ἀνατολὴν ἐθνῶν βασιλεύοντες, τὸ ἔθνος τὸ ταχινὸν καὶ ἀπάνθρωπον καὶ παρὰ πάσῃ τῇ γραφῇ ἐπὶ κακίᾳ καὶ ἰσχύϊ βοώμενον, καὶ κύων ἄλλος βάρβαρος, λυσσώδης καὶ μεμηνώς, ἐθνῶν ἀγρίων ἡγούμενος, ὅσα τε κατὰ ἄρκτον καὶ ὅσα μέρος οἰκοῦσι τῆς δύσεως οὐκ ἐλάχιστον ἔθνη ἄγων ἀλλόφυλα, ὧν ὁ ἀριθμὸς τῇ θαλασσίᾳ ψάμμῳ μικροῦ δεῖν παρεικάζετο, ἐφρύαξαν, ἐμελέτησαν, ἦλθον, ἐπέστησαν, ἐκύκλωσαν γῆν τε καὶ θάλασσαν ὡς τὸ κηρίον αἱ μέλισσαι. Καὶ βασιλεὺς μὲν ὁ μέγας ἀπῆν· ἐπολέμει γὰρ εἰς χώραν μακρὰν τοῖς ἅπασαν τὴν ὑπὸ Ῥωμαίους ἀνατολὴν ἐκδῃώσασι, χίμαιραν ὁρῶν οὐ τρικέφαλον, ἀλλὰ πολυκέφαλον, Ναβουχοδονόσορ, τὸν νῦν Βαβυλώνιον τύραννον Χοσρόην φημὶ τὸν δυσώνυμον, ᾧ καὶ τὸ ζῆν καὶ τὸ Περσῶν βασιλεύειν Χριστιανὸς βασιλεὺς ἐχαρίσατο. Βασιλεὺς τοίνυν ὁ μέγας ἀπῆν, υἱῷ βασιλεῖ τὴν πατρικὴν ζηλοῦντι πραότητα καὶ εὐσέβειαν τὸν θρόνον λιπὼν τὸν βασίλειον, τοῦτον δὲ Θεῷ καὶ τῇ παρθένῳ σὺν τοῖς ἀδελφοῖς καὶ τῇ πόλει πιστεύσας καὶ παραθέμενος. Ἀλλ' ὁ μὲν Πέρσης ὁ Σαρβαρὰζ (οὕτω γὰρ τὸν Ὀλοφέρνην τοῦτον καλοῦσιν οἱ Βαβυλώνιοι) ἅπαν τὸ παρὰ Πέρσαις στρατιώταις ἔχων ἐπίλεκτον, ἵπποις ἅμα καὶ ἅρμασιν τῇ γείτονι Χαλκηδόνι περιεκάθητο, ἐπείπερ αὐτῷ Θεὸς εὐκαιρίᾳ τῆς θέσεως ἐκώλυσε τὴν διάβασιν, τὸν καθ' ἡμᾶς Ἰορδάνην θέμενος πρὸ προσώπου τῆς πόλεως, ὥστε κωλύειν τοῖς ἀπεριτμήτοις καρδίᾳ τὴν εἴσοδον· πλὴν οὐκ ἐπέσχε τὴν κακίαν τοῦ ἄφρονος, ἀλλὰ καὶ λόγοις καὶ βουλαῖς καὶ στρατοῦ ἀποστολῇ σύμμαχος ἅμα καὶ συστρατιώτης τοῦ ἐκ δύσεως συὸς κατὰ τῆσδε ὤφθη τῆς πόλεως, πάντα μὲν ἐμπιπρῶν θεῖα τεμένη καὶ βασιλικὰ κακαταγώγια καὶ ἅπαν ἰδιωτικὸν κτῆμα καὶ οἴκημα, ἀκατασχέτῳ δὲ τῷ θυμῷ καὶ ζεούσῃ τῇ ὀργῇ αὐτὴν τὴν βασιλίδα πόλιν ἐμπιπρᾶν λογιζόμενος.

Ὁ δὲ δυτικὸς ἐχθρός, τὸ μυσαρώτατον ἔκτρωμα, ὃν Χαγάνον ἐπιχωρίως ὀνομάζουσι βάρβαροι, αὐτοῖς τῆς πόλεως ἐπὶ συχνὰς ἡμέρας ἐπέστη τοῖς τείχεσιν, ἔθνη ἄγων μυρία, γῆν καὶ θάλασσαν τοῖς ὅπλοις πληρώσαντα· τοῦ γὰρ ἀρχεκάκου δαίμονος ὑπάρχων ὀλέθριον γέννημα, οὐ φύσεως ἀνάγκῃ, ἀλλὰ προαιρέσει τέκνον δια-

βόλου δειχθεὶς καὶ πάσης τῆς ἐκείνου κακίας δοχεῖον γενόμενος, ὥσπερ τις ἀντίθεος γῆς καὶ θαλάσσης ἔχειν τὸ κράτος οἰόμενος ἔθετο εἰς οὐρανὸν τὸ στόμα καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς, ὡς ὠὰ καταλελειμμένα τὸν τοῦ Θεοῦ λαὸν ἆραι διανοούμενος· ὅθεν ἀπὸ περάτων γῆς μέχρι θαλάσσης τὰς χεῖρας αὐτοῦ τὰς μιαιφόνους ἐξέτεινε· καὶ τὴν μὲν θάλασσαν ληστρικοῖς ἐχέρσωσε σκεύεσι, τὴν δὲ γῆν ἐπλήρωσεν ἱππέων τε καὶ πεζῶν, ταύτην πανταχόθεν τὴν Ἱερουσαλὴμ πορθῆσαι βουλόμενος. Τί δὲ ἄρα τοῦτον ἐξέκαυσε πρὸς τοσαύτην ἀπόνοιαν; καί τίς αὐτῷ τοῦτον τὸν παλαμναῖον λογισμὸν εἰσηγήσατο; τὸ μὲν πρῶτον ὡς πρῶτον ἐρῶ, καὶ οὕτως ἐπὶ τὸ δεύτερον καὶ τελευταῖον ἐλεύσομαι.

Πρῶτον δὲ λέγω καὶ πρῶτον ἐρῶ τῶν ἡμετέρων ἁμαρτημάτων τὸ πολυμερὲς καὶ πολύτροπον καὶ ὅτι ἀναξίως τῶν ἐντολῶν Θεοῦ τοῦ σώσαντος ἡμᾶς ἐν πᾶσι πολιτευόμεθα, δάκνοντες ἀλλήλους καὶ κατεσθίοντες καὶ πᾶν εἶδος κακίας πράττειν ἐπιτηδεύοντες. Δεύτερον δὲ τὸ ἐκείνου τοῦ θηρὸς ἄπληστόν τε καὶ φιλοχρήματον καὶ τὸ μηδὲν εἶναι κορέσαι τὴν βδέλλαν ταύτην δυνηθὲν ἢ δυνάμενον· φυγὰς γὰρ ὁ τοῦτον κατὰ σάρκα (ὡς εἴθε μή!) γεννήσας, ἐκ γῆς γενόμενος πόρρωθεν καὶ ὥσπερ τις λύμη θεήλατος, ἐν ᾗ κατοικεῖται νῦν χώρᾳ τὸ ἔθνος, ἐπισκήψας τοῖς ἔμπροσθεν Ῥωμαίων προσέθετο βασιλεύσασιν. Οἱ δὲ ὥσπερ αὐτομόλῳ τότε χρησάμενοι γυμνὸν ὄντα ἠμφίασαν καὶ πεινῶντι τροφὰς ἐχορήγησαν, ἀγνοήσαντες, οἷον κακὸν ἐκτήσαντο γείτονα καὶ οἷον τῇ Ῥωμαίων ἀρχῇ παρεδέξαντο ἐγκόλπιον ὄλεθρον· γίνεται δὲ τῆς τοῦ πατρὸς κληρονόμος ἀρχῆς καὶ διάδοχος ὁ ἐκείνου μὲν παῖς, τούτου δὲ τοῦ κυνὸς ἀδελφὸς καθ' ἡλικίαν πρεσβύτερος. Οὗτοι δὲ κατ' ὀλίγον ἐκ ληστρικῆς καὶ μιαιφόνου μελέτης τὰ γειτονοῦντα ἔθνη εἰσεποιήσαντό τε καὶ ἐδουλώσαντο καὶ κατὰ σμικρὸν ηὐξήθησάν τε καὶ ἐπληθύνθησαν καὶ τὴν γῆν ἐκείνην ἐκάλυψαν πλήθεσιν. Ὅτε δὲ αὕτη ἡ δολερὰ καὶ κακοῦργος ἀλώπηξ τῆς ἀδελφικῆς (ὡς ὤφελόν γε μή!) τυραννίδος διάδοχος γέγονε, τίνα τρόπον οὐκ ἐπενόησε καθ' ἡμῶν δολιότητος; τί δὲ οὐ πέπραχε βασιλεὺς ὁ ἡμέτερος τὴν ἐκείνου κακίαν κατευνάσαι βουλόμενος; ποῖον εἶδος εὐεργεσίας εἰς τὸν κύνα τοῦτον οὐκ ἐπεδείξαντο; Ἀλλ' ἡ κακία τοῦ θηρός, ὡς ἔοικεν, ἀμεθόδευτος καὶ οὐδέν ἐστι τὸ ἰσχῦον ἢ τὸ δυνάμενον πονηρὰν καὶ βαρβαρικὴν μαλάξαι προαίρεσιν. Τίς γὰρ οὐκ οἶδεν τὴν ὑπ' ἐκείνου τολμηθεῖσαν πρὸ τούτων τῶν ἐτῶν ἀπάνθρωπον ἔφοδον, ὅτε βασιλεὺς μὲν ὁ πρᾶος καὶ ἄκακος κατά τινας συνθήκας ἐξελήλυθε τοῦτον ἐν τοῖς Μακροῖς δεξιωσόμενος τείχεσι, πᾶσαν ἀκολουθεῖν κελεύσας φιλοφροσύνης ἐπίνοιαν, δι' ἧς ἀνήμερον θῆρα μεταβαλεῖν καὶ τιθασσεῦσαι ἡ ἐλπὶς ὑπετίθετο; τίς δὲ ἀγνοεῖ τὴν ἐπιβουλὴν καὶ τὸν δόλον τοῦ ὄφεως καὶ ὅσον ψυχῶν πλῆθος ἐξ ἀδοκήτου κακίας αἰχμάλωτον ἥρπασεν, ἀνδράσι τε ἅμα γυναῖκας, γέροντάς τε καὶ νήπια ἀριθμὸν ὑπερβαίνοντας εἰς τὴν αὐτοῦ γῆν δεσμίους ἀπήγαγεν; οὐ μέχρι δὲ τούτου τῆς κακίας αὐτοῦ τὴν κίνησιν ὥρισεν, ἀλλὰ καὶ ταύτην ἠπείλει καταστρέψαι τὴν ἐν πόλεσι βασιλεύουσαν, εἰ μὴ πάντων τῶν ἐν αὐτῇ χρημάτων τε καὶ πραγμάτων τὴν ἡμίσειαν μοῖραν κομίσοιτο. Καὶ τὴν μὲν τότε κίνησιν πᾶσαν λέγειν οὐκ εὔκαιρον· εἴληφεν ὅλως

χρήματά τε καὶ πράγματα, ὅσα καὶ τὰς Βριάρεω χεῖρας ἐνέπλησαν καὶ τὴν ὠμότητα μετέβαλον ἂν τοῦ Φαλάριδος· ἀλλ' οὐχὶ καὶ τὴν βδέλλαν ταύτην ἐκόρεσαν, μείζονος δὲ καὶ πλείονος ἀπιστίας ὑπέκκαυμα τῷ κυνὶ ἡ τῶν χρημάτων ἐπίδοσις γέγονε. Ταῦτα μὲν γὰρ ἐπὶ σπονδαῖς δῆθεν εἰρηνικαῖς ἐκομίσατο καὶ ὅρκοις πατρίοις διὰ τῶν παρ' αὐτῷ λογάδων τὰ τῶν σπονδῶν ἐπιστώσατο· ἀλλ' οὐδὲ ὅρκος ὁ πάτριος, οὐ χρημάτων τοσούτων ἐπίδοσις, οὐ βασιλικοῦ τρόπου διάθεσις, οὐ βασιλέως τοσούτου σοφία καὶ φρόνησις τὴν ἐκείνου κακίαν ἀλλάξαι δεδύνηται.

Ἀλλ' ὅτε, καθὰ καὶ πρότερον εἴρηται, κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ τῶν πρὸς ἀνίσχοντα ἥλιον βασιλεὺς ἐξώρμησεν ὁ θεοφιλέστατος, οὐδὲ τότε τὸν ὑπερόπτην καὶ ἀλαζόνα κατέλιπεν ἀμεθόδευτον, ἀλλὰ Θεῷ μὲν καὶ τῇ παρθένῳ πόλιν καὶ παῖδας βασιλεῖς παρέθετο καὶ βασίλεια καὶ ταῖς τοιαύταις ἐλπίσι θαῤῥῶν ἐξεστράτευσε, καὶ τοῦτον δὲ τὸν θῆρα κατ' οἰκονομίαν εὔλογον τιθασσεύειν ὑπέλαβε, δόξας δῆθεν αὐτῷ τὴν πόλιν καὶ παῖδας καταπιστεύειν καὶ τὰ βασίλεια· χρηστὸς γὰρ ἀνὴρ οἰκονομεῖν ἐν κρίσει λόγους ἐπίσταται καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου καὶ πόλεως, καθὰ τοῖς ἐν βασιλεῦσι σοφοῖς Δαβὶδ καὶ Σολομῶντι ἐν ἱεροῖς εἴρηται γράμμασιν. Ἀλλ' οὐδὲ τοῦτο, καίπερ δυνάμενον αἰσχῦναι καὶ δαίμονας, τὴν τοῦ δράκοντος ἐκείνου κακίαν μετριωτέραν εἰργάσατο, ἀλλ' ὅτε τὴν ἐπὶ Πέρσας τοῦ βασιλέως ἔμαθε κίνησιν, ὅτε τὸν εὐεργέτην καὶ πατέρα, ὡς ἔλεγεν, ἐκδημήσαντα ἔγνω τῆς πόλεως, εὐθὺς συναγωγαὶ βαρβάρων ἐθνῶν, θηρίων δὲ εἰπεῖν οἰκειότερον, κατασκευαὶ ἐνόπλων καὶ ἑλεπόλεων καὶ τῶν διὰ θαλάσσης ὑπηρετούντων ξύλων πρὸς τὸν διέκπλουν τοῖς ἔθνεσιν συγκομιδαὶ πρὸς τὴν θάλασσαν, καὶ πᾶς ἐπενοεῖτο τρόπος καὶ μηχαναὶ ἐτεκταίνοντο, ὥςτε τὴν πόλιν τοῦ Θεοῦ, ἣν ἡ παρθένος τετείχηκε, γενέσθαι τῷ θηρὶ δοριάλωτον. Καὶ ταῦτα μὲν ἐκεῖνος διενοεῖτο καὶ ἔπραττε, καὶ πᾶν συνῆγε τὸ ὑπ' αὐτῷ ταττόμενον βάρβαρον γῆν τε ἐπλήρου καὶ θάλασσαν ἐθνῶν ἀγρίων, ὧν βίος ὁ πόλεμος.

Ταῦτα δὲ βασιλεὺς ἀκηκοὼς ὁ πιστότατος, γράφων μὲν ἐστρατήγει πρὸς πόνους διανιστῶν δημοσίων πραγμάτων τὸν φύλακα (Βόνος δὲ ἦν οὗτος, ὁ παρὰ πᾶσι βοώμενος) καὶ πάντων ἐποιεῖτο δι' αὐτοῦ τὴν δέουσαν ἐπιμέλειαν, τὰς δὲ χεῖρας ἀνίσχων εἰς οὐρανὸν ἐβόα πρὸς κύριον· 'σὺ δέσποτα, παντεπόπτα καὶ γνῶστα πάντων, ἐπίστασαι, ὡς σοὶ καὶ τῇ ἀσπόρως τεκούσῃ σε τέκνα παρεθέμην καὶ πόλιν καὶ τὸν λαόν σου τὸν ταύτης οἰκήτορα· ἔδοξα δὲ καὶ τὸ βάρβαρον θηρίον τὸν Χαγάνον μεταχειρίζεσθαι καὶ τῷ δοκεῖν αὐτῷ παρεθέμην τὰ πράγματα, κἂν οὕτως ἐντρέπειν ὑπολαβὼν τὸν ἀλάστορα· καὶ οὐδὲ οὕτως ὠφελῆσαι δεδύνημαι οὐδὲ τὸ ἄπληστον αὐτοῦ νικῆσαι τῆς προαιρέσεως ἴσχυσα· ἀλλ' ὁρᾷς, ὅσα καὶ οἷα κατὰ λαοῦ διανοεῖται τῷ σῷ πεποιθότος ὀνόματι! Σὺ οὖν δέσποτα τῶν ἁπάντων, ᾧ καὶ τὴν ψυχὴν ἀνεθέμην καὶ τὴν ζωὴν τέκνα τε, ἅπερ μοι δέδωκας, καὶ πόλιν, ἥν μοι πεπίστευκας, τὴν σὴν παρακαταθήκην φύλαξον ἄτρωτον· σὺ γὰρ τὸν περὶ παρακαταθηκῶν τέθεικας νόμον διὰ Μωσέως,

τοῦ δούλου σου, ἄσυλα καὶ ἀνεπιβούλευτα τὰ παρακατατιθέμενα κελεύσας φυλάττεσθαι· σύ μοι τοίνυν κατὰ τὸν σὸν νόμον φύλαξον ἀπαθῆ καὶ ἀνάλωτον τὴν πόλιν, ἣν παρεθέμην τῇ ἰσχύϊ τοῦ κράτους σου καὶ τῇ Θεοτόκῳ μητρὶ τῆς σῆς ἀγαθότητος!'

Καὶ βασιλεὺς μὲν ὁ μέγας ταῦτα Θεῷ ἐνετύγχανεν, ἑλκόμενός τε καὶ ἀνθελκόμενος, καὶ ταῖς φροντίσι καὶ ταῖς βουλαῖς μεριζόμενος καὶ δύο παθῶν ἐν μεταιχμίῳ γινόμενος. Τὰ βασιλέως δὲ τέκνα ἐν τῷ κατὰ βασίλεια εὐκτηρίῳ τῆς Θεομήτορος τὴν παιδικὴν ἀκακίαν καὶ τὴν ψυχὴν ἅμα καὶ τῶν σωμάτων παρθενίαν καὶ καθαρότητα ἀνθ' ἱκετηρίας καὶ θυμιάματος εἰώδους προὐβάλλοντο βοῶντα σὺν δάκρυσι· 'δέσποινα παντοδύναμε, σοὶ καὶ πόλιν τὴν σὴν καὶ τοὺς σοὺς οἰκέτας ἡμᾶς νηπίους, ὡς ὁρᾷς παναγία, ὑπάρχοντας πατὴρ ὁ ἡμέτερος ἐπίστευσε καὶ παρέθετο, καὶ τὸν σταυρὸν αὐτοῦ ἄρας κατὰ τῶν λύκων ἐξώρμησε τῶν διασπώντων τῆς τοῦ υἱοῦ σου ποίμνης τὰ πρόβατα· ῥῦσαι τοίνυν ἡμᾶς τε καὶ πόλιν καὶ τοὺς οἰκήτορας, ῥῦσαι ἐκ τοῦ προσερπύζοντος ἡμῖν ὄφεως'. Ἀλλὰ καὶ ἡ πόλις ἐν λιταῖς καὶ παννύχοις δεήσεσι διδάσκαλον εἶχον οὕτως στρατολογεῖν ἐπιστάμενον καὶ οὕτως ὁπλίζοντα, τὸν καθ' ἡμᾶς Ἡσαΐαν, τὸν ἱεράρχην τὸν τίμιον. Καὶ τοῦτο ἦν ὅπλον καὶ ῥομφαία καὶ θυρεὸς τοῖς τῆς πόλεως πάσης οἰκήτορσι τὸ αἴρειν πρὸς Θεὸν τὰς χεῖρας καὶ τὴν παρθένον ἐξαιτεῖν εἰς βοηθὸν καὶ ὑπέρμαχον· ἅπαν γὰρ ὅσον ἐν ἱερεῦσι τελεῖ καὶ ὅσον ἐν κλήρῳ καὶ μονάδι βίῳ καὶ λαῷ κατατέτακται, πᾶσάν τε ἡλικίαν μέχρι νηπίου καὶ γέροντος ἀθροίζων εἰς ἓν ἀρχιερεὺς ὁ ἡμέτερος θαῤῥεῖν παρῄνει καὶ μὴ ἐκλύεσθαι, τούτοις ὁπλίζων τοῖς ῥήμασι· 'δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ καὶ πατρός, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν· δεῦτε κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς· τοῦ γὰρ κυρίου ὁ πόλεμος· οὐκ ἔστι παρὰ Θεῷ ἐν πλήθει τὸ σώζεσθαι· βασιλεὺς γὰρ διὰ πολλὴν οὐ σώζεται δύναμιν οὐδὲ πόλις φυλάττεται, ἐὰν μὴ ταύτην φυλάττῃ ὁ κύριος· ἐχθροὶ ἐν ἵπποις καὶ ἅρμασι καὶ ὄχλῳ βαρεῖ καθ' ἡμῶν ἐπανίστανται, ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα· κύριος γὰρ αὐτὸς πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡ παρθένος ἡ Θεοτόκος ὑπέρμαχος ἔσται τῆσδε τῆς πόλεως, εἴπερ ἐπ' αὐτοὺς καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ προσδράμωμεν'. Ταῦτα λέγων ὁ ἱεράρχης καὶ τούτοις παιδοτριβῶν τὴν πόλιν τοῖς ῥήμασι νύκτα τε καὶ ἡμέραν ἀκατάπαυστον πρὸς Θεὸν ἐποιεῖτο τὴν δέησιν.

Ἀλλ' οὐδὲ ὃν ὁ σοφὸς καὶ μέγας βασιλεὺς κατέλιπεν τῶν πραγμάτων τῆς πόλεως ἐπιμελητήν τε καὶ φύλακα τῶν δεόντων ἠμέλησεν, ἀλλὰ πᾶσαν ἐπίνοιαν ἀνθρωπίνης ἠρτημένην δυνάμεώς τε καὶ ἐπιμελείας πολυμερῶς ἐνεδείκνυτο· χαίρει γὰρ κἀν τούτοις ὁ Θεός, οὐκ ἐθέλων ἀργοὺς καὶ ἀκινήτους εἶναι τοὺς πρὸς αὐτὸν καταφεύγοντας καὶ ἐπ' αὐτῷ τῆς σωτηρίας τὴν πεποίθησιν ἔχοντας. Οὕτω καὶ Ἰησοῦ τῷ Ναυῆ ἔνεδρα θέσθαι κατὰ τῆς Γαὶ πρότερον ἐνετείλατο· καὶ τὸν Γεδεὼν κατὰ τῶν Μαδιηναίων ὑδρίαις καὶ λαμπάσιν ἐξώπλισε· καὶ ὁ μὲν φύλαξ τῶν βασιλέως πραγμάτων ἀγρύπνῳ πάντα περιεσκόπει τῷ ὄμματι· τείχη γὰρ

ὠχύρου καὶ πάντα τὰ πρὸς πολεμικὴν χρείαν ἐξήρτυε· πρὸς τοῦτο γὰρ αὐτὸν ὁ τοῦ μεγάλου βασιλέως φόβος παρώτρυνε καὶ τὰ πόρρωθεν ἐν γράμμασι διαπαντὸς κελευόμενα· ἐστρατήγει γὰρ καὶ ἀπὼν ὁ τοῦ Θεοῦ θεράπων, ὁ βασιλεὺς ὁδηγῶν καὶ παρορμῶν πρὸς τὰ δέοντα τὸν ἑαυτοῦ πιστότατον φύλακα· ὁ δὲ ἱεράρχης ὁ ὅσιος πάσαις ταῖς πρὸς δύσιν πύλαις τῆς πόλεως, ὅθεν καὶ τὸ τοῦ σκότους ἤρχετο γέννημα, οἷα ἥλιον ἀπλανέστατον ταῖς ἀκτῖσι τὸ σκότος διώκοντα τοὺς τῆς παρθένου ἱεροὺς τύπους ἐν εἰκόσιν ἐνέγραψεν, φερούσης ἐν ἀγκάλαις ὃν τέτοκε κύριον, μονονουχὶ βοῶν νοερᾷ τῇ φωνῇ τοῖς τῶν βαρβάρων πλήθεσι καὶ τοῖς ἐκείνους ἄγουσι δαίμοσιν· ʽπρὸς τούτους ὑμῖν, ὦ ἔθνη ἀλλόφυλα καὶ φῦλα δαιμόνια ὁ πᾶς ἐξήρτυται πόλεμος· ἅπαν ὑμῶν τὸ θράσος καὶ τὰ φρυάγματα γυνὴ Θεοτόκος μόνῳ διώξει κελεύσματι, μήτηρ ὑπάρχουσα κατ' ἀλήθειαν τοῦ τὸν Φαραὼ πανστρατιᾷ ἐν Ἐρυθρᾷ θαλάσσῃ βυθίσαντος καὶ τὸ πᾶν δαιμόνιον φῦλον δείξαντος ἀδρανὲς καὶ ἀνίσχυρονʼ. Καὶ ταῦτα μὲν ὁ ἱεράρχης ἔδρα καὶ ἔλεγεν, καὶ Θεὸν καὶ τὴν παρθένον ἱκέτευε φυλάξαι πόλιν ἀπόρθητον τῆς Χριστιανῶν ὀφθαλμὸν ὑπάρχουσαν πίστεως, ᾗ συνσαλευθῆναι κίνδυνος εἰς πάντα τὰ πέρατα τοῦ κατὰ Χριστὸν μυστηρίου τὸ κήρυγμα.

Τὰ δὲ πολέμια ἔθνη τὴν πόλιν ἐκύκλωσαν, ἐξ ἀνατολῶν, ἐκ δυσμῶν, ἐκ θαλάσσης καὶ τοῦ βορρᾶ. Καὶ ποιητικὸς μὲν ἄν τις ἀνὴρ Σκύλλαν μὲν ἔνθεν, ἐκεῖθεν δὲ Χάρυβδιν τὰ κατὰ ἕνα ἐκάλεσε τὰ ὁρώμενα· ἡ δὲ πόλις ἐβόα πρὸς τὴν παρθένον δακρύουσα, στόματι χρωμένη νοερῷ τοῦ ἱεράρχου τῷ πνεύματι· ʽσῶσον, ὦ δέσποινα, σῶσον· ἀπόλλυμαι· μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς· οἶδα γάρ, ὅτι δύνασαι· ἰδοὺ οἱ ἐχθροί μου ἤχησαν λέγοντες· δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτὴν ἐξ ἔθνους καὶ οὐ μὴ μνησθῇ τοῦ Ἰσραὴλ ἔτι τὸ ὄνομα· ἐβουλεύσαντο γὰρ ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ Μωὰβ καὶ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ καὶ πάντες ἀλλόφυλοι, καὶ Ἀσσοὺρ δὲ μετ' αὐτῶν παρεγένετο· ἀλλὰ θοῦ αὐτοὺς ὡς τροχὸν καὶ καλάμην, ἡνίκα πῦρ διαφλέγει δρυμόν, μή ποτε εἴπωσιν· οὐκ ἔστι σωτηρία ἐν τῷ Θεῷ αὐτῆςʼ. Καὶ ἡ μὲν πόλις ἐν τούτοις ἦν καὶ ἔδρα ὅ τι καὶ ἔδρα· οὐ γὰρ οἷός τέ ἐστιν ἀνθρώπινος λόγος ἐξειπεῖν τὰ ἐν τῇ πόλει τά τε κατ' οἴκους καὶ δημοσίᾳ ἐν νυξὶ καὶ ἡμέραις λεγόμενά τε καὶ δρώμενα ὑφ' ἡγεμόνι καὶ πρωτουργῷ τῷ ἱερωτάτῳ ταττομένῃ ποιμένι.

Πρῶτος δὲ τοῦ πυρπολεῖν ὁ ἐκ ἀνατολῶν ἀπήρξατο βάρβαρος, ὁ τῇ γείτονι πόλει τῇ Καλχηδόνι πανστρατιᾷ προσκαθήμενος· εὐθὺς δὲ καὶ ὁ ἐκ δύσεως τοῦτον ἐζήλωσε καὶ ὥσπερ ἀλλήλους ἀνταμειβόμενοι καὶ ἀλλήλοις ἀντεπιδείκνυσθαι σπουδὴν πᾶσαν ποιούμενοι, ἐνεπύρισαν ἐν πυρὶ καὶ εἰς γῆν ἐβεβήλωσαν τοῦ Θεοῦ τὰ ἁγιαστήρια καὶ πάντα οἶκον βασίλειον καὶ ἅπαν ἰδιωτικὸν καταγώγιον. Καὶ Μωσῆς μὲν ἡνίκα τὸν Ἰσραὴλ κατὰ τοῦ Ἀμαλὴκ πρὸς πόλεμον ἔταττεν, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐξεπέτασε (τὸν σταυρὸν γὰρ προετύπου τῷ σχήματι), Ἀαρὼν δὲ καὶ Ὢρ τοῦ νομοθέτου τὰς χεῖρας ὑπήρειδον· βαρεῖαι γὰρ αὗται, αἰνιττόμεναι τὸ τοῦ νόμου ἀδύνατον, ὅπερ ἠσθένει τῆς σαρκὸς τῷ φρονήματι, διὸ καὶ τὸν υἱὸν αὐτοῦ ὁ Θεὸς εἰς τὸν κόσμον ἀπέσταλκεν· ὁ δὲ καθ' ἡμᾶς

Μωσῆς τοῦ μονογενοῦς Θεοῦ τὸν τύπον, ὃν καὶ δαίμονες φρίττουσι (φασὶ δὲ τοῦτον τὸν ἀχειροποίητον) ἀθῴοις ἄρας χερσὶ (οὐ γὰρ ἐδεῖτο τοῦ ὑπερείδοντος, ὅλον ἑαυτὸν σταυρώσας κόσμῳ, κατὰ τὸ Χριστοῦ τοῦ Θεοῦ εὐαγγέλιον) ὥσπερ ὅπλον ἀκαταμάχητον διὰ παντὸς τοῦ τείχους τῆς πόλεως διῆλθε σὺν δάκρυσι τοῦτον παραδεικνὺς ταῖς ἀερίοις τοῦ σκότους δυνάμεσι καὶ ταῖς ἐκ δύσεως φάλαγξι· σιωπώσῃ δὲ τῇ φωνῇ καθὰ Μωσῆς ὁ πρῶτος ἐβόα πρὸς κύριον, ἡνίκα τὴν κιβωτὸν ἐποίει τοῦ λαοῦ προπορεύεσθαι· 'ἐξεγέρθητι κύριε καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου καὶ φυγέτωσαν πάντες οἱ μισοῦντές σε'· τούτοις δὲ προςετίθη Δαβὶδ τοῦ βασιλέως τὰ ῥήματα· 'ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προςώπου πυρός, οὕτως ἀπόλοιντο ἔθνη ἀλλόφυλα ἀπὸ προςώπου τοῦ Θεοῦ ἡμῶν, τοῦ ἐπιβεβηκότος ἐπὶ δυσμῶν διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν'.

Πρώτη δὲ ἦν αὕτη ἡμέρα τῆς ἐκ δυσμῶν τῶν ἐθνῶν παρουσίας, καθ' ἣν ταῦτα ἐπράττοντο· τρίτη δὲ ἡ αὐτὴ ὑπῆρχε τῆς ἑβδομάδος ἡμέρα. Καὶ ὁ μὲν ἱεράρχης οἷά τις ἄλλος Μωσῆς ἀντ' ὄρους τὸ πρὸς δυσμαῖς τεῖχος διήρχετο, κλήρου ἔχων τὸ ἔκκριτον προάγον τε καὶ ἑπόμενον· ὁ δὲ φύλαξ τῶν βασιλέως πραγμάτων τὸ στρατιωτικὸν καὶ τοῦ λαοῦ ὅσον ἐπίλεκτον πρὸς ἀντιπαράταξιν ἔταττε, καθὰ Γεδεὼν ἐκεῖνος ἐν ὀλίγοις λογάσι πρὸς μυριάδας ἀντιταττόμενος· ἐπέστη δὲ οἷα σφηκῶν σμήνη τὰ ἔθνη τὰ βάρβαρα ἀπὸ θαλάσσης εἰς θάλασσαν, τὴν γῆν ἅπασαν σὺν τοῖς ὅπλοις πληρώσαντα· οὔπω γὰρ τῷ βαρβάρῳ τὸ κατὰ θάλασσαν ηὐτρέπιστο μάχιμον. Ἦν δὲ καὶ τὸ κατὰ γῆν θέαμα φρικωδέστατον καὶ τὸ ἰδεῖν μόνον ἐξίστησιν τὴν διάνοιαν· καθ' ἕνα γὰρ στρατιώτην ἡμέτερον ἑκατὸν καὶ πλείους ὑπῆρχον οἱ βάρβαροι, πάντες ἐνδεδυμένοι τοὺς θώρακας, πάντες ταῖς περικεφαλαίαις σκεπόμενοι, καὶ πᾶν πολεμιστήριον φέροντες ὄργανον· οἷς ἐξ ἀνατολῶν προςβάλλων ὁ ἥλιος καὶ ταῖς ἀκτῖσι περιαυγάζων τὸν σίδηρον, φοβερωτέρους μὲν ἐκείνους ἐδείκνυεν, τοὺς δὲ ὁρῶντας ἐτάραττεν. Καὶ τότε μὲν ὥσπερ τὴν ἰδίαν πληθὺν καὶ ἰσχὺν ἐπιδεῖξαι μόνον θελήσας ὁ βάρβαρος, νυκτὶ πεισθεὶς εἰς τὸ στρατόπεδον ἀνεχώρησεν· τῇ δὲ ὑστεραίᾳ ἡτοίμαζεν τὰ πρὸς πόλεμον ἅπαντα, χελωνῶν οὕτω λεγομένων ἅπαν πληρῶν τὸ μεταίχμιον· ἀλλ' οὐδὲ τότε τὸ εἶναι κύων ἀναιδὴς καὶ λίχνος ἀπέσχετο, τροφὰς δὲ ᾔτει παρὰ τῆς πόλεως. Ἃς καὶ δέδωκε βασιλικῶς ὁ βασιλέως υἱός, ταῦτα δηλώσας πρὸς τὸν κύνα τὸν βάρβαρον· 'ἐγὼ καὶ μισούμενος ἀγαπῶ καὶ πολεμούμενος πρὸς εἰρήνην προτρέπομαι· οὕτω γὰρ ὁ Θεὸς ὁ ἐμὸς καὶ πατὴρ ἐπαίδευσεν εὐσεβέστατος'. Ὁ δὲ καὶ τὰς τροφὰς κομισάμενος καὶ τοῦ βασιλέως λόγους δεξάμενος ἔμεινεν κύων καθὰ καὶ τὸ πρότερον, λυττῶν καὶ περιυλακτῶν καὶ τὰ κυνὸς ἀναιδοῦς ἐνδεικνύμενος.

Τρίτη δὲ ἦλθεν ἡμέρα, καὶ καθάπερ χάλαζα σὺν κεραυνοῖς ἐπέστη πᾶσι τοῖς τείχεσιν, αὐτοβοεὶ πάντα καταστρέφειν οἰόμενος· ἀλλ' ἡ παρθένος ἡ πάντα ἰσχύουσα τῆς ἰδίας αὐτὸν ἐν πείρᾳ καθιστῶσα δυνάμεως, ἀρραβῶνας αὐτῷ τῆς ὅσον οὔπω μενούσης τὸν ἀλιτήριον παρέσχετο πτώσεως. Συχνὸν γὰρ ἀριθμὸν τῶν

παρ᾽ ἐκείνῳ μαχίμων λοχήσασα παρ᾽ ἓν τῶν πρὸ τείχους θείων ναῶν αὐτῆς, ἐν ᾧ πηγὴ ἰαμάτων ὑπάρχουσα οὕτω καλεῖσθαι τὸν τόπον πεποίηκε· καὶ τούτους χερσὶ στρατιωτῶν Χριστιανῶν κατασφάξασα εἰς τὴν γῆν κατήγαγεν τοῦ βαρβάρου τὸ φρύαγμα καὶ ἅπαν αὐτοῦ τὸ στρατιωτικὸν ἐξενεύρισε. Καὶ ἔκρυψε τότε τὸν φόβον ὁ δόλιος, δέδωκε δὲ θάρσος τοῖς ἡμετέροις καὶ δύναμιν πείρᾳ μαθοῦσί τε καὶ πιστεύσασιν, ὅτι ὄντως ἡ Θεομήτωρ ὑπὲρ πόλεως τῆς ἰδίας ζηλοῖ τε καὶ ἀγωνίζεται· ἐξῆς γὰρ λοιπὸν διὰ πάσης ἡμέρας συμπλοκαὶ κατὰ τόπον διάφοροι καὶ βελῶν ἀφέσεις καὶ βολαὶ χερμάδων δι᾽ ὅλου τοῦ τείχους ἐγίνοντο· καὶ πανταχοῦ παρῆν ἡ παρθένος, νικῶσα νίκην ἀνανταγώνιστον, καὶ δεῖμα μὲν καὶ φόβον τοῖς πολεμίοις ἐμβάλλουσα, ἰσχὺν δὲ δούλοις παρέχουσα καὶ ἀπαθὲς φυλάττουσα τὸ ὑπήκοον, ἀναιροῦσα δὲ πλῆθος πολέμιον· τρίτην δὲ ταύτην ἡμέραν ἡ βαρβαρικὴ παρουσία ἦγεν, ὡς εἴρηται, ἡνίκα ταῦτα ἐπράττοντο.

Κατὰ δὲ τετάρτην ἡμέραν τὰς ἑλεπόλεις ἤρξατο καθιστᾶν ὁ ἐμβρόντητος καὶ τῶν ἀφετηρίων ὀργάνων καὶ πύργων ξυλίνων κατασκευὰς ἐτεκταίνετο· ἦν δὲ αὐτῷ ἡ τούτων σύμπηξις ῥάστη καὶ σύντομος καὶ λόγου γινομένη ταχύτερον, πλήθει τε βαρβάρων ταῦτα ἐργαζομένων καὶ τῷ τὴν ὕλην ἔχειν εὐπόριστον, ἣν τε ἐφ᾽ ἁμαξῶν ἄγων ἐλήλυθε καὶ ἣν ἐξ ὧν κατέστρεψεν οἴκων εὐχερῶς συνεκόμισεν. Ἀλλὰ Θεὸς ἐγέλα τοῦτον καὶ ἐμυκτήριζεν ὁ λαλήσας πρὸς αὐτὸν ἐν ὀργῇ αὐτοῦ καὶ ταράξας ἐν τῷ θυμῷ αὐτοῦ αὐτόν τε καὶ τὸν λαὸν αὐτοῦ.

Πέμπτης δὲ οὔσης ἡμέρας στέλλει πρὸς αὐτὸν ὁ βασιλεὺς ὁ νεώτατος λαβὼν τῆς βουλῆς κοινωνοὺς καὶ τῆς γνώμης συλλήπτορας αὐτὸν ἱεράρχην καὶ τῆς συγκλήτου τὸ πρώτιστον, δῶρά τε καὶ πρέσβεις, πρὸς εἰρήνην αὖθις τὸν τύραννον προκαλούμενος· στέλλει δὲ Σομνᾶν καὶ Ἐλιακεὶμ καὶ Ἰωάχ,- τὸν γὰρ τέταρτον ἑκὼν ὑπερβήσομαι, ἐπείπερ τρεῖς καὶ Ἐζεκίας ἔστειλε πρότερον πρὸς Ῥαψάκην τὸν Βαβυλώνιον, τὸν πάλαι τὴν Ἱερουσαλὴμ πορθῆσαι διανοούμενον.

Οἱ δὲ σταλέντες ἐπανεληλύθασιν ἄπρακτοι, τὰ μὲν δῶρα δόντες, κἂν οὐκ ἠβούλοντο, ταῦτα δὲ λέγοντες πρὸς τοὺς στείλαντας· Πρωτέα τινὰ χερσαῖον τεθεάμεθα, δαίμονα ἐν ἀνθρωπείῳ δῆθεν τῷ σχήματι, λόγοις μὲν ἀλλοπρόσαλλον, εἴδει δὲ καὶ ἤθεσιν ἀποτρόπαιον. Φεῦ τῆς ἀκαθαρσίας τοῦ σώματος! φεῦ τῶν σχημάτων ὧν ἑωράκαμεν! φεῦ τῶν λόγων ὧν ἀκηκόαμεν, οὓς καὶ εἰπεῖν ὑμῖν αἰσχυνόμεθα καὶ δεδίαμεν· καθὰ γὰρ Σαλμωνεὺς ἄλλος ἐκ βύρσης βροντᾷ, οὐδὲν ἐλπίζων ἢ λογιζόμενος δεύτερον, πλὴν ἀλλ᾽ ἐπείπερ ἀνάγκη πάντως ἐπήρτηται συνελόντα εἰπεῖν τῶν εἰρημένων ἡμῖν τὰ κεφάλαια, ταῦτα ὁ ἀλάστωρ οὗτος καὶ μιαρὸς πρὸς ἡμᾶς ἐφθέγξατο τύραννος· μὴ ἀπατάτω ὑμᾶς ὁ Θεὸς ὑμῶν, ἐφ᾽ ᾧ πεποίθατε λέγοντες· οὐ μὴ παραδοθῇ ἡ πόλις εἰς χεῖρας ἐμοῦ καὶ λαοῦ τοῦ συνόντος μοι· πάντως τὴν πόλιν αὔριον καταλήψομαι καὶ ταύτην ἀοίκητον θήσομαι, τοῖς οἰκοῦσι δὲ τὸ ζῆν φιλανθρώπως χαρίσομαι καὶ ἄδειαν δίδωμι γυμνοὺς ἐξελθεῖν ἐκ τῆς πόλεως, ἕνα δὲ χιτῶνα διὰ τὴν φύσιν ἑκάστῳ φιλοτιμήσομαι κελεύω καὶ τῷ Σαρβαρὰζ καὶ τοῖς Περσικοῖς ἐκστρατεύμασι μηδὲν εἰς ὑμᾶς θλῖβον ἐνδείξασθαι· ἐξέλθετε τοίνυν, καθάπερ ἔφην, εὐθέως τῆς

πόλεως, ἕτερον δέ τι φιλάνθρωπον παρ' ἐμοῦ μὴ αἰτήσητε'. Ταῦτα μὲν ἐκεῖνος εἶπεν καὶ προςηπείλησεν μείζονα· προσέθηκεν δέ, ὅτι, εἰ μὴ θᾶττον ἐξέλθωμεν, πλῆθος Περσῶν συμμαχοῦν τῷ τυράννῳ πρὸ τοῦ τείχους ὀψόμεθα τῆς πόλεως αὔριον· καί γε σὺν ἀληθείᾳ Πέρσας ἡμεῖς αὐτοὶ τεθεάμεθα σταλέντας παρὰ τοῦ Σαρβαρὰζ καὶ δῶρα κομίσαντας, οὓς καὶ συνθήκας θέσθαι ἠκούσαμεν, ὥςτε σταλῆναι τὰ παρὰ Σκλάβοις μονόξυλα καὶ ἐν αὐτοῖς στρατὸν Περσικὸν ἐκ Χαλκηδόνος περᾶσαι τὴν θάλασσαν'.

Ταῦτα μὲν τὰ τῶν πρέσβεων ῥήματα, στρατὸν δὲ παρὰ Περσῶν ἐζήτει, οὐχ ὅτι συμμάχων ἐδέετο ὁ βάρβαρος, — γῆ γὰρ καὶ θάλασσα ἐθνῶν ἀγρίων ὑπ' ἐκείνῳ ταττομένων ἐπέπληστο, — ἀλλ' ἵνα τὴν πρὸς Πέρσας σύμφωνον αὐτοῦ καθ' ἡμῶν δείξῃ ὁμόνοιαν· νυκτὸς δὲ γενομένης ἐστάλησαν τὰ μονόξυλα καὶ Σκλάβων πλῆθος δι' ἐκείνων ἐξέπλευσε κομίσαι τὸ ἐκ Περσῶν συμμαχικὸν ἐπιστάμενον· πλείστην γὰρ οἱ Σκλάβοι πεῖραν τοῦ κατατολμᾶν τῆς θαλάσσης εἰλήφασιν, ἐξότε τοῖς Ῥωμαίων καὶ αὐτοὶ ἐπέθεντο πράγμασι. Βασιλεὺς δὲ καὶ ἱεράρχης καὶ ὁ βασιλέως φυλάττων τὰ πράγματα τοὺς τῶν πρέσβεων λόγους ἀκούσαντες, στενάξαντες βύθιον, εἰς οὐρανὸν τὰς χεῖρας ἅμα πᾶσιν ἀνέτειναν τοῖς τῆς πόλεως, 'δυνάστα' λέγοντες 'κύριε, ὁ πᾶσι τοῖς ὑπερηφάνοις ἀντιταττόμενος, ὁ ἔχων πάντα τὰ ὄντα ἐν τῇ ῥοπῇ τοῦ ἰδίου θελήματος, οὗ τὸ κράτος ἀνείκαστον καὶ τὴν δεσποτείαν οὐδὲν διαπέφευγεν, ὅτι τὰ σύμπαντα δοῦλά σου· ἄκουσον τοὺς λόγους Σενναχειρείμ, οὓς ἀπέστειλεν ὀνειδίζων σέ, τὸν πάντων δεσπόζοντα· οὐ γὰρ ἐπὶ τόξοις ἐλπίζομεν οὐδὲ ῥομφαίαν ἔχομεν εἰς τὸ σώζεσθαι, ἀλλὰ σὲ πύργον ἰσχύος ἀπὸ προσώπου ἐχθρῶν τοσούτων κεκτήμεθα· σὺ τοίνυν, παντοκράτορ καὶ παντοδύναμε, ὁ καθήμενος ἐπὶ Χερουβὶμ καὶ βλέπων ἀβύσσους, κάτιδε ἐκ θρόνων βασιλείων σου ἐπὶ ἐθνῶν πλήθη μὴ γινωσκόντων σε, ἅπερ ἡμᾶς ἐξ ἀνατολῶν καὶ δυσμῶν περιεκύκλωσαν. Δέσποτα! οὐκ ἀδυνατεῖ σοι γὰρ σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις, ἐπειδὴ πάρεστίν σοι, ὅταν θέλῃς, τὸ δύνασθαι· καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται, κύριε ὁ Θεὸς ἡμῶν; μὴ δῷς τὸ σκῆπτρον τῆς δόξης σου τοῖς μὴ οὖσιν μηδὲ κατισχυσάτωσαν σου ἄνθρωποι· ἰδοὺ γάρ, ἰδοὺ συνέθεντο καὶ καθωμολόγησαν καὶ σύμφωνα ἔθεντο Ῥαασσὼν οὗτος καὶ τοῦ Ῥομελίου ὁ παῖς ἐξᾶραι σκήνωμα δόξης σου καὶ φράξαι στόμα αἰνούντων σε· συλληφθήτωσαν ἐν διαβουλίοις οἷς διαλογίζονται, κύριε, ὅτι ἐν τῷ ὑπερηφανεύεσθαι τοὺς ἀσεβεῖς ὁ λαός σου ὁ πτωχὸς ἐμπυρίζεται· τίς ἐπάταξε μόνῳ βουλήματι, δέσποτα, Ζαρὲ τὸν Αἰθίοπα σὺν χιλίαις χιλιάσι κατὰ τοῦ Ἀσὰ ποτε τοῦ βασιλέως στρατεύσαντα; τίς κατέβαλεν ἔθνη πολέμια, ὧν τὸ πλῆθος ἀμέτρητον, ἡνίκα πρὸς σὲ τὰς χεῖρας Ἰωσαφὰτ ἐξεπέτασεν, ἀνθρωπίνης ἐστερημένος δυνάμεως; σὺ καὶ νῦν ὁ πάντα ποιεῖν ἰσχύων μόνῳ θελήματι, ῥῦσαι πόλιν κληρονομίας σου καὶ σῶσον λαὸν σῷ κεκλημένον ὀνόματι, μήποτε εἴπωσι, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν, ἀλλὰ γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν'. Καὶ ταῦτα μὲν ὁ βασιλεύς, ὁ ἱεράρχης, ὁ στρατηγός, ἡ πόλις ἐν ἐκτενείᾳ προςηύχοντο.

Θεὸς δὲ τὴν Περσῶν πρὸς τὸν κύνα διάβασιν ἀπεκώλυσεν, ἔνεδρα θέμενος καὶ πατάξας ἐνίους, ὧν οἱ τύραννοι πρὸς ἀλλήλους ἀπέστελλον. Ἕκτῃ δὲ καὶ ἑβδόμῃ καὶ ὀγδόῃ ἡμέρᾳ ἀκροβολισμοῖς μὲν καὶ τοπικαῖς ἐφόδοις τοῦ πολεμεῖν οὐκ ἐπαύσαντο· ἔργον δὲ ἦν αὐτῷ σὺν πόνῳ πολλῷ σπουδαζόμενον, διὰ μὲν γῆς τὰς τῆς τειχομαχίας μηχανὰς παραστῆσαι καὶ τὰς ἑλεπόλεις κατὰ τῶν πύργων ὁπλίσαι τῆς πόλεως, κατὰ θάλασσαν δὲ τὰ παρὰ Σκλάβοις ἐξαρτῦσαι μονόξυλα, ὥςτε καθ' ἕνα καιρὸν καὶ μίαν τὴν ὥραν χερσαῖον ἅμα καὶ θαλάσσιον κινῆσαι κατὰ τῆς πόλεως πόλεμον. Ἤδη γὰρ φθάσας ἅπαντα τὸν τοῦ Κέρατος κόλπον ἀλλοφύλων ἐθνῶν ἄγουσι φόρτον μονοξύλοις ἐχέρσωσεν, ἐκεῖνον εὐχερῆ τὸν τόπον πρὸς ἐπίβασιν κατὰ τῆς πόλεως λογισάμενος· ἠγνόει δὲ ὁ κατάρατος, ὅπερ ὕστερον τῇ πείρᾳ μεμάθηκεν, ὅτι φύλακα ἡ πόλις ἀκαταμάχητον κέκτηται τὸν ἐν Βλαχέρναις ἅγιον οἶκον τῆς Θεομήτορος, τῷ κόλπῳ μὲν τοῦ Κέρατος πλησιάζοντα, πᾶσαν δὲ τὴν πόλιν καὶ τοὺς οἰκοῦντας φυλάττοντα, ἔνθα ἔδει καταποντισθῆναι καὶ τοῦ Φαραὼ τούτου πᾶσαν τὴν δύναμιν, ὥςτε τὸν κόλπον Ἐρυθρὰν ἐκ τοῦ πράγματος λέγεσθαι θάλασσαν. Ἐν ὅσῳ δὲ τὸν κατὰ τὴν γῆν καὶ θάλασσαν ὁ μεμηνὼς ἐξήρτυε πόλεμον, λαβὼν ὅσον εἶχεν ἐν ἱππεῦσι θωρακηφόροις ἐπίλεκτον, ἐν τοῖς ἐπὶ τὸν πόντον ἀναπλεομένοις γέγονε μέρεσι, τῷ Περσικῷ στρατῷ καὶ τῷ Σαρβαρὰζ ἀντεπιδεικνυμένῳ ἐπιδεικνύμενος. Κἀκεῖνος γὰρ ἄντικρυς τὰ ὅμοια ἔπραττεν, ἅπαν ὁπλιτῶν ἱππέων τὸ κατ' ἐκεῖνα τὰ μέρη πλήσας παραθαλάσσιον· καὶ ὁ μὲν ἐξ Ἀσίας, οὗτος δὲ ἐξ Εὐρώπης καθάπερ θῆρες ἀνήμεροι ὠρύοντο κατὰ τῆς πόλεως, ἕτοιμον ὥςπερ ταύτην ἔχειν νομίζοντες θήραμα.

Ἐνάτη δὲ ὅτε ἡμέρα κατέλαβε, μέγιστος κατὰ γῆν δι' ὅλου τοῦ τείχους συνερράγη ὁ πόλεμος, ὥςτε πλῆθος φθαρῆναι πολέμιον καὶ πάντων ἐπ' ὄψεσι τῶν ἡμετέρων τοὺς νεκροὺς αὐτῶν σύρεσθαι. Καὶ τραυματίαι δὲ τῶν ἡμετέρων γεγόνασιν ἔνιοι· οὐδὲ γὰρ ἡ νὺξ ἐπιγενομένη τὸν πόλεμον ἔπαυσεν, ἀλλὰ πάννυχον ἔσχε καὶ ἄϋπνον ἀμφοτέρωθεν κάματον· οὐκ ἴσας δὲ ἡ ὑσμίνη κεφαλὰς εἶχε πρὸς ἡμᾶς τὸ ἀλλόφυλον, ἀλλὰ πολλῷ τῷ περιόντι τῶν πολεμίων ἐκράτει πανταχοῦ τὸ ἡμέτερον.

Ὅτε δὲ ἡ δεκάτη τῆς τοῦ κυνὸς ἐκείνου παρουσίας ἡμέρα κατέλαβε, πέμπτη δὲ ἦν τῆς ἑβδομάδος ἡμέρα, ἑβδόμην δὲ ἦγεν ὁ μήν, ὃν Ῥωμαῖοι κεκλήκασιν Αὔγουστον, τίς ἐξειπεῖν ἰσχύει τοῦ Θεοῦ τὰ τότε θαυμάσια, τίς δὲ τῆς παρθένου τὴν δύναμιν διηγήσασθαι; Ταύτην κλητὴν ἁγίαν ὁ καλῶν ἡμέραν ἐπαινεθήσεται, ἔχουσαν πλεῖστα καὶ μεγάλα τῆς τοῦ Θεοῦ περὶ ἡμᾶς φιλανθρωπίας μυστήρια· ἡ γὰρ αὐτὴ καὶ πέμπτη καὶ ἑβδόμη, ἔτι γε μὴν καὶ δεκάτη κατ' ἄλλο καὶ ἄλλο ἐναργῶς ἀποδέδεικται, πάντα ἡμῖν τῆς ἐκ Θεοῦ σωτηρίας τὰ τέρατα δείξασα· πέμπτη μὲν γὰρ ἦν κατ' ἐνέργειαν πάσας ἡμῶν τὰς αἰσθήσεις εὐφροσύνης θείας πληρώσασα, περὶ ἃς ὁ νοητὸς μάλιστα γίνεται πόλεμος· ἑβδόμη δὲ πάλιν οἷα παρθένος τις καὶ ἀμήτωρ καὶ τῆς ἀειπαρθένου καὶ Θεοτόκου ἀξιωθεῖσα χάριτος· δεκάτη δὲ αὖθις, ὡς τὸ τέλειον ἔχουσα, καὶ τελείαν ἡμῖν ἐκ Θεοῦ καὶ τῆς παρθένου τὴν ἐλευθερίαν κομίσασα.

Ταύτην οὖν οἶμαι καὶ Ζαχαρίαν τὸν ἕνα τῶν δώδεκα τῷ προφητικῷ προθεκσάμενον πνεύματι χαρᾶς ἡμέραν καλέσαι καὶ θείας ἀγαλλιάσεως, ἐν οἷς ἐπὶ λέξεως ἔφησε· ʽνηστεία ἡ πέμπτη καὶ νηστεία ἡ ἑβδόμη καὶ νηστεία ἡ δεκάτη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εἰς εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθάς· καὶ οἴδαμεν, ὅτι ἄλλως Ἑβραίων παῖδες τὰ τῆς προφητείας ἐξειλήφασι ῥήματα, ἐν αὐταῖς φάσκοντες ταῖς ἡμέραις ἀλλοφύλοις γενέσθαι τὴν Ἱερουσαλὴμ ὑποχείριον καὶ τὴν ἐντεῦθεν πένθιμον διὰ νηστείας κατήφειαν εἰς εὐφροσύνην καὶ χαρὰν τῷ Ἰούδα γενήσεσθαι· ἀλλ' οὐκ οἶδα, πότε ταῦτα Ἰουδαῖοι ἐλπίζουσι πένθει δικαίῳ διαπαντὸς συνεχόμενοι, ἐξότε αἷμα ἀθῷον καταδικάσαντες καὶ Θεὸν σταυρῷ προςηλώσαντες πένθιμον δικαίως στολὴν ἐνεδύσαντο. Πλὴν φθόνος οὐδεὶς ἐκείνοις νοεῖν καὶ δέχεσθαι ὡς ἂν ἐθέλοιεν τὰ παρὰ Ζαχαρίου λεγόμενα· ἡμῖν δὲ μία καὶ ἡ αὐτὴ ἡμέρα πέμπτη τε καὶ ἑβδόμη καὶ δεκάτη γεγένηται τὴν τοῦ Θεοῦ καὶ τῆς παρθένου περὶ ἡμᾶς φιλανθρωπίαν κυήσασα. Ἔχει δὲ καὶ ἄλλο ἡ δεκάτη μυστήριον, ὅπερ οὐκ ἂν σιωπήσομαι· αὐτὴν γὰρ οἶμαι τοῦτο ποιῶν ἀδικεῖν τὴν ἀλήθειαν. Τῇ δεκάτῃ τοῦ παρ' Ἑβραίοις πέμπτου μηνὸς Ναβουζαρδὰν τοῦ Βαβυλωνίου Ναβουχοδονόσορ ὁ ἀρχιμάγειρος τὸν ἐν Ἱεροσολύμοις ναὸν ἐνέπρησε καὶ τὴν πόλιν δοριάλωτον ἔλαβεν· καὶ τούτου μάρτυς ἀπαραλόγιστος Ἱερεμίας, ὁ τὰ θεῖα σοφώτατος, ὃν ἐκ κοιλίας ἡγίακε κύριος, αὐταῖς ἐπὶ ῥητοῦ γράψας ταῖς λέξεσιν· ʽἐγένετο ἐν μηνὶ τῷ πέμπτῳ, δεκάτῃ τοῦ μηνός· ἦλθεν Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ἑστὼς κατὰ πρόσωπον τοῦ βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ ἐνέπρησεν τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάσας τὰς οἰκίας τῆς πόλεως καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρί· καὶ πᾶν τεῖχος Ἱερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων ἡ μετὰ τοῦ ἀρχιμαγείρου· καὶ τοὺς καταλοίπους τοῦ λαοῦ κατέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς'. Ὅτι μὲν οὖν δεκάτην ἦγεν ὁ πέμπτος μὴν παρ' Ἑβραίοις, ἡνίκα Πέρσαι τὸν ναὸν καὶ τὴν παρὰ Ἰουδαίοις μητρόπολιν ἐνεπύρισαν, αὐτὰ βοῶσι τοῦ προφήτου τὰ ῥήματα· πέμπτος δὲ μὴν παρ' Ἑβραίοις ἐστὶν ὁ Ἀβ οὕτω λεγόμενος· τὸν γὰρ Νισὰν τὸν μῆνα τῶν νέων πρῶτον ἐν μησὶν ὁ Θεὸς ἡγεῖσθαί τε καὶ ὀνομάζειν ἐντέταλται· πέμπτος τοίνυν ὁ Ἄβ ἀπὸ τοῦ Νισὰν εὑρίσκεται ἀριθμούμενος· Νισὰν δὲ παρ' Ἑβραίοις, ὃ παρὰ Ῥωμαίοις συμβαίνει πλεονάκις Ἀπρίλλιος. Πέμπτος οὖν ὁ Αὔγουστος ἀπὸ Ἀπριλλίου παρὰ Ῥωμαίοις εὑρίσκεται· κἂν γὰρ Ἑβραῖοι ταῖς τῆς σελήνης κινήσεσιν τοὺς μῆνας ἀριθμεῖν μεμαθήκασιν, καὶ δῆλόν ἐστιν, ὅπερ καὶ ἕτερος φήσειεν, ὅτι οὐ πάντως συντρέχουσιν αἱ καθ' Ἑβραίους ἡμέραι καὶ μῆνες ταῖς κατὰ Ῥωμαίους ἡμέραις καὶ τοῖς μησίν, ἀλλὰ καὶ συντρέχουσι πλεονάκις καὶ πολλάκις ὁ Νισὰν εἰς τὸν Ἀπρίλλιον ἔφθασεν. Δεκάτῃ τοίνυν τοῦ παρ' Ἑβραίοις πέμπτου μηνὸς τὴν Ἱερουσαλὴμ εἷλεν ὁ ἀρχιμάγειρος, τῇ δὲ δεκάτῃ τῆς ἰδίας ὁ Χαγάνος ἀφίξεως ἡμέρᾳ ἑλεῖν Κωνσταντινούπολιν ἤλπισεν· καὶ γὰρ ὁ Ῥωμαίων Καῖσαρ τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν παροινίας δίκας εἰσπράττων τὴν Ἰουδαίων ἀπόνοιαν δεκάτῃ τοῦ πέμπτου μηνὸς τὸν ναὸν ἐν Ἱεροσολύμοις ἐνέπρησε καὶ τὴν πόλιν κατέσκαψεν. Καὶ τοῦτο γράφων

οὐκ ἀπιστεῖται Ἰώσηπος, οὕτως ἐν ἕκτῳ λόγῳ τῆς Ἰουδαϊκῆς γράφων ἁλώσεως· 'τοῦ δὲ ναοῦ ἄρα κατεψήφιστο μὲν τὸ πῦρ ὁ Θεὸς πάλαι· παρῆν δὲ ἡμέρα χρόνων περιόδοις δεκάτη Λώου μηνός, καθ' ἣν καὶ πρῶτον ὑπὸ τοῦ βασιλέως Βαβυλῶνος ἐνεπρήσθη. Διὸ θαυμάσαι ἄν τις τῆς περιόδου τὴν ἀκρίβειαν· καὶ μῆνα γὰρ καὶ ἡμέραν ἐτήρησε τὴν αὐτήν, ἐν ᾗ πρότερον ὑπὸ Βαβυλωνίων ὁ ναὸς κατεφλέχθη'. Ἐπεὶ τοίνυν ἀνεγκλήτως γέγραφεν ὁ Ἰώσηπος, ὡς ἡ δεκάτη τοῦ Ἄβ, καθ' ἣν ὁ θεῖος Ἱερεμίας ἑλεῖν ἔφησε τὸν ναὸν καὶ Ἱεροσόλυμα τὸν Βαβυλώνιον τύραννον, δεκάτη Λώου ὑπῆρχεν, ἡνίκα Τίτος τὴν αὐτὴν πόλιν ἐπόρθησεν, καὶ οἶδε καὐτὸς πλεονάκις ἐκ περιόδου τοὺς Ἑβραίων μῆνας συντρέχειν λέγοντι ἔστιν ὅτε τὸν πέμπτον μῆνα παρὰ Ἰουδαίοις τῷ κατὰ Ῥωμαίους Αὐγούστῳ μηνί. Ταῦτα γὰρ εἰ καὶ παρεκβατικώτερον εἴρηται· δείκνυσι γὰρ ὁ λόγος, ὡς τῇ δεκάτῃ τοῦ πέμπτου μηνὸς καὶ Ναβουζαρδὰν κατέσκαψε τὸν ναὸν καὶ Ἱεροσόλυμα καὶ Τίτος πάλιν ὁμοίως τῇ δεκάτῃ τοῦ πέμπτου μηνὸς ταῦτα κατέστρεψε καὶ Χαγάνος οὗτος ὁ ἀλιτήριος τύραννος τῷ πέμπτῳ μηνί, εἴπερ τὸν μῆνα τῶν νέων κατὰ τὴν θείαν νομοθεσίαν πρῶτον ἐν μησὶν ἀριθμήσωμεν, τῇ δεκάτῃ ἡμέρᾳ τῆς παρουσίας αὐτοῦ τοσαῦτα πλήθη πολέμια κατὰ τῆς πόλεως ἐξ ἀνατολῶν καὶ δυσμῶν καὶ γῆς καὶ θαλάσσης παρέστησε, Θεὸς δὲ καὶ ἡ παρθένος κἀκεῖνον καὶ τοὺς ἀθροισθέντας κατῄσχυναν, δείξαντες τὴν περὶ ἡμᾶς, εἰ καὶ ἀνάξιοι σωτηρίας ὑπάρχομεν, φιλάνθρωπον ἀγαθότητα, καὶ ὅσον τῆς κατὰ νόμον λατρείας καὶ τῶν θυσιῶν τῶν διὰ κνίσης καὶ αἵματος, ἅπερ τῷ κατὰ σάρκα Ἰσραὴλ ποιεῖν ἐπετέτραπτο, ἡ καθαρὰ καὶ ἀναίμακτος Χριστιανῶν λατρεία προσφιλεστάτη Θεῷ καὶ εὐπρόσδεκτος, εἰ καὶ χερσὶν ἀνίπτοις, τὸ δὴ λεγόμενον, κεκαυτηριασμένην ἔχοντες τὴν συνείδησιν οἱ πολλοὶ τῶν θείων μυστηρίων μετέχειν τολμηρῶς οὐ δεδοίκαμεν.

Καὶ ὅσα μὲν περὶ τῆς δεκάτης ἡμέρας ἐπῆλθεν εἰπεῖν, οὐκ ἐσίγησα τῷ συστοίχῳ τῆς δεκάτης ἀριθμῷ οὐκ εἰς ἄκρον, ὡς οἶμαι, χρησάμενος· καὶ ἐπὶ μὲν τῆς Ἱεροσολύμων ἁλώσεως δεκάτῃ τοῦ μηνὸς τὴν πόλιν ἐπόρθησαν οἱ πορθήσαντες· ἐνταῦθα δὲ τῇ δεκάτῃ τῆς ἐλεύσεως αὐτοῦ τὴν πόλιν ἑλεῖν ὁ τύραννος ἐφαντάζετο· ὁ μὴν γὰρ τοῦ μηνὸς οὐ κατὰ πολὺ διενήνοχεν, ἐπείπερ ὁ Ἄβ ὁ παρὰ Ἰουδαίοις καὶ ὁ παρὰ Μακεδόσι Λῶος καλούμενος καὶ ὃν Ῥωμαῖοι κεκλήκασιν Αὔγουστον, εἰς ἕνα καὶ τὸν αὐτὸν μῆνα πολλάκις συντρέχουσι, κἂν τοῖς ὀνόμασι διαφέρωσι. Καὶ εἰς τοῦτο δοθείη, δοθήσεται δέ, ἐπείπερ καὶ γίνεται· μὴν μὲν ἔστω πέμπτος ὁ Αὔγουστος καὶ ἡ ἡμέρα δεκάτη, οὐκέτι μὲν τοῦ μηνός, τῆς δὲ παρουσίας τοῦ ἐχθροῦ καὶ ἀλάστορος· καὶ συντρέχουσι μὲν τοῖς πρώην ἀμφότερα· τῇ δὲ περὶ ἡμᾶς τοῦ Θεοῦ κηδεμονίᾳ κατὰ πολὺ διαφέρουσι τὰ ἡμέτερα, ἅπερ ἐντεῦθεν εἰρήσεται.

Καιρὸς γὰρ λοιπὸν τὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ Θεοῦ καὶ τῆς παρθένου, καθ' ὅσον οἷόν τέ ἐστιν, θαυμάσια διηγήσασθαι· παρῆν, καθὰ προδεδήλωται ἔμπροσθεν, ἡ πέμπτη τῆς ἑβδομάδος ἡμέρα· ἑβδόμη δὲ ἦν τοῦ Αὐγούστου, δεκάτη δὲ τῆς καθ' ἡμῶν τοῦ ὀλεθρίου κυνὸς ἐπελεύσεως· ὁ δὲ τὸν κατὰ γῆν

καὶ θάλασσαν ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν κατὰ τῆς πόλεως κεκίνηκε πόλεμον. Καὶ κατὰ πᾶν μὲν τὸ τεῖχος καὶ πᾶσαν τὴν θάλασσαν ἀλαλαγμὸς πολὺς καὶ κέλαδος ἐνυάλιος ἐξηκούετο· αἵ τε γὰρ σάλπιγγες τὸ πολεμικὸν πανταχόθεν ἐσήμαινον καὶ βοῆς καὶ κραυγῆς ἡ πᾶσα πόλις κύκλῳ πεπλήρωτο· καθ' ὅλου δὲ τοῦ τείχους τὰς ἀφετηρίους μηχανὰς ὑφ' ἓν ἐργάζεσθαι παρεσκεύασε κίνημα καὶ βελῶν ἀφέσεις ἐκπέμπεσθαι καὶ πᾶν ὅ τι κατὰ πόλεως ἐπινενόηται πολέμιον· ἐν δὲ τῷ κόλπῳ τοῦ Κέρατος Σκλάβων καὶ λοιπῶν ἀγρίων ἐθνῶν ἅπερ κατήγαγε πληρώσας μονόξυλα καὶ τοὺς ἐν αὐτοῖς ὁπλίτας βαρβάρους εἰς πλῆθος φερομένους ἀμέτρητον, τῆς κατὰ τῆς πόλεως ἐρεσίας σὺν ἀλαλαγμῷ μεγάλῳ ποιήσας ἀπάρξασθαι, ἐπειρᾶτο καὶ ἐφαντάζετο διὰ μὲν τῶν πολεμούντων εἰς γῆν τὰ τείχη καταβάλλειν τῆς πόλεως, διὰ δὲ τῶν ναυμαχούντων ἐν τῷ κόλπῳ τοῦ Κέρατος εὐχερῆ τὴν κατ' αὐτῆς ἔχειν ἐπίβασιν. Πανταχόθεν δὲ αὐτοῦ Θεὸς καὶ ἡ παρθένος ἡ δέσποινα ἀπράκτους καὶ κενὰς τὰς ἐλπίδας ἀπέδειξαν· τοσοῦτον γὰρ πλῆθος νεκρῶν καθ' ἕκαστον τόπον τοῦ τείχους καὶ οὕτω διαπαντὸς ἔπιπτε τὸ πολέμιον, ὡς μηκέτι τοὺς βαρβάρους ἰσχύειν λοιπὸν σύρειν καὶ κατακαίειν τοὺς πίπτοντας.

Κατὰ δὲ τὸν ἐν θαλάσσῃ γενόμενον πόλεμον αὔτανδρα τὰ μονόξυλα πρὸ τοῦ ἐν Βλαχέρναις θείου ναοῦ αὐτῆς ἡ Θεοτόκος ἐβύθισεν, ὡς πάντα τὸν κόλπον ἐκεῖνον ἐκ τῶν νεκρῶν σωμάτων καὶ τῶν κενῶν μονοξύλων τῶν εἰκῇ φερομένων καὶ τῶν μάτην περιπλεόντων, εἰ μὴ φορτικὸν εἰπεῖν, ἀβρόχως πεζεύεσθαι· δέδεικται δὲ φανερώτατα, ὡς ἡ παρθένος μόνη τὸν ἀγῶνα τοῦτον ἠγώνισται καὶ τὴν νίκην νενίκηκεν, ἐξ ὧν οἱ κατὰ θάλασσαν ἐν τοῖς ἡμετέροις ἀγωνιζόμενοι σκάφεσιν ἐκ μόνης τῆς ὁρμῆς τοῦ πλήθους τῶν ὑπεναντίων ἐτράπησαν καὶ μικροῦ δεῖν πρύμναν ἐκρούσαντο καὶ δεδώκασι παρ' ὀλίγον τοῖς ἐχθροῖς εὐχερῆ τὴν ἐπίβασιν, εἰ μὴ προφθάσαν τὸ τῆς παρθένου φιλάνθρωπον οὐδὲν τοιοῦτον ἰδεῖν ἐκαρτέρησεν· τὴν γὰρ ἰδίαν ἐξεγείρασα ἰσχύν τε καὶ δύναμιν, οὐ καθάπερ Μωσῆς ῥάβδῳ τὴν Ἐρυθρὰν διέστησε καὶ αὖθις ἐπέκλυσε θάλασσαν, ἀλλὰ νεύματι καὶ μόνῳ βουλήματι ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν καὶ πόντῳ πάντας ἐκάλυψεν αὐτοῖς πλωτῆρσι καὶ σκεύεσιν. Φασὶ δέ τινες, ὡς οὐ φόβῳ τῶν ἐχθρῶν πρὸς ὑποχώρησιν ἔκλιναν οἱ ἡμέτεροι, ἀλλ' ἡ παρθένος αὐτὴ τὴν οἰκονομίαν δεῖξαι βουλομένη τοῦ θαύματος, τὴν ὑποχώρησιν τοῖς ἡμετέροις ἐκέλευσε προσποιήσασθαι. ὥστε τοὺς βαρβάρους κατὰ τὸν θεῖον ναὸν αὐτῆς, ἤγουν τὸν ὅρμον ἡμῶν τὸν σωτήριον καὶ τὸν λιμένα τὸν εὔδιον — ταῦτα γὰρ πάντα ὁ ἐν Βλαχέρναις ναὸς ὑπάρχει τῆς Θεομήτορος — τὸ παντελὲς ὑποστῆναι ναυάγιον. Καὶ ἦν ἰδεῖν τὸ φρικῶδες ἐκεῖνο καὶ μέγιστον θαῦμα καὶ θέαμα, ἅπαντα μὲν τὸν κόλπον ὑπὸ νεκρῶν σωμάτων καὶ ξύλων κενῶν χέρσον γενόμενον καὶ περιρρεόμενον αἵμασιν, ὀλίγους δὲ τῶν βαρβάρων, οὓς συμβέβηκε τῇ πρὸς ἄρκτον γῇ πλησιάζοντας τὸν κατὰ θάλασσαν διαδρᾶναι ὀλέθριον θάνατον ἐμπειρίᾳ τοῦ νήχεσθαι καὶ αὐτοὺς μηδενὸς διώκοντος ἐν τοῖς ὄρεσι φεύγοντας.

Φασὶ δὲ καὶ αὐτὸν τὸν ἀλιτήριον τύραννον αὐτόπτην γενόμενον τῆς αἰσχύνης, ἧς αὐτὸν ἡ παρθένος ἐνέπλησεν, ἑαυτῷ γενέσθαι τῆς ἀπωλείας διάκονον, ἱππέα σὺν ὁπλίταις ἐφ᾽ ὕψους ἱστάμενον καὶ τῆς οἰκείας θεατὴν γενόμενον πτώσεως ἀναστρέψαι κενὸν πρὸς τὸ πρὸ τοῦ τείχους στρατόπεδον, χερσὶ τὸ στῆθος καὶ τὸ πρόσωπον τύπτοντα· πολλαὶ δὲ ἡμέραι λίαν διεληλύθασιν, ἐν αἷς τοὺς ἐν τῷ λάκκῳ νεκροὺς βαρβάρους ἀνελέσθαι σὺν κόπῳ ἴσχυσαν οἱ ἡμέτεροι καὶ συναγαγεῖν εἰς καῦσιν τὰ ἐκείνων μονόξυλα. Ὅτε δὲ οἱ ἐν τῷ τείχει πρὸς τοὺς ἐχθροὺς ἀνταγωνιζόμενοι τὸν κατὰ θάλασσαν τῶν βαρβάρων εὐηγγελίσθησαν ὄλεθρον, ἔτι γε μὴν καὶ πλῆθος κεφαλῶν ἐν δόρασιν ἐθεάσαντο, ὧν κατ᾽ ὀλίγον ἐκόμιζον οἱ ἡμέτεροι πρὸς τὸν ἐκ βασιλέως τοῦ μεγάλου κελευσθέντα ποιεῖσθαι τὴν τῶν πραγμάτων διοίκησιν, τότε δὴ τότε τῇ θείᾳ δυνάμει θαρρήσαντες καὶ τῇ ἰσχύϊ τῆς παρθένου φραξάμενοι τὰς πύλας τῶν τειχῶν ἀνεπέτασαν καὶ σὺν βοῇ καὶ ἀλαλαγμῷ τὴν παρρησίαν καὶ τὴν νίκην μηνύοντι πλησίον ὁμόσε κατὰ τῶν ἐχθρῶν κνὶ τῶν μηχανῶν ἐπεξέδραμον. Τοσαύτη δὲ περιέσχε χαρὰ καὶ δύναμις τὸ ἡμέτερον, τοὺς δὲ βαρβάρους δειλία καὶ τῆς ἐλπίδος ἀπόγνωσις, ὡς καὶ παῖδας καὶ γύναια κατ᾽ ἐκείνων ὁρμήσαντας εἰς αὐτὸ γενέσθαι τῶν ἐχθρῶν τὸ στρατόπεδον· καὶ ἦν ὁρᾶν ἕνα χιλίους διώκοντα καὶ δύο μυριάδα μετακινοῦντας ὁρμήματι κατὰ τὸ πάλαι ὑπὸ Μωσέως λεγόμενον.

Τοιαύτην ἡ Θεοτόκος, ἡ παρθένος, ἡ δέσποινα ἰσχὺν τοῖς ἀνισχύροις καὶ δύναμιν τοῖς ἀδυνάτοις θελήματι μόνῳ δεδώρηται· αὐτὴ δὲ δηλαδὴ τὸ ἐμπρησθῆναι τὰς μηχανὰς τῶν ἐχθρῶν ὑπὸ τῶν ἡμετέρων τότε ἡ Θεομήτωρ ἐκώλυσε, μεῖζον ἐθέλουσα δεῖξαι τῆς ἰδίας περὶ ἡμᾶς ἀγαθότητος γνώρισμα· τὸν γὰρ φύλακα τῶν δημοσίων πραγμάτων αὖθις παρόντα καὶ πάντα τῇ σπουδῇ διερχόμενον ἐμφρόνως ἐξήγειρεν ἀσφαλείας προνοήσασθαι μείζονος καὶ κωλῦσαι τῶν ἡμετέρων τὴν ἔξοδον, ἀνακαλέσασθαι δὲ καὶ τὸν ἔξω τοῦ τείχους συρρεύσαντα ὅμιλον, οὐκ ἀνακλητικῇ τοῦτο ποιούμενον σάλπιγγι, ἀλλὰ τρέχοντα σὺν βοῇ καὶ χερσὶ καὶ λόγοις πρὸς ὑποστροφὴν εὔλογον καὶ ἀσφαλῆ προτρεπόμενον. Καὶ τοῦτο μὲν ἐδόκει καὶ ἦν ἀσφαλὲς ἅμα καὶ στρατηγικῆς προμηθείας ἐχόμενον, ἡ δὲ παρθένος ἡ Θεοτόκος ἐνήργει τοῦτο καὶ ἔπραττεν, αὐτόχειρας τοὺς βαρβάρους γενέσθαι κελεύσασα καὶ αὐτοῖς τῶν ἰδίων μηχανῶν τὸν διὰ πυρὸς ἀφανισμὸν ἐπιτρέψασα. Δηλοῖ δὲ ἡ ἔκβασις· ἅμα γὰρ ἔδυ ὁ ἥλιος καὶ νὺξ ἐπεγένετο, τὰς χελώνας, τοὺς τριβόλους, τὰς ἑλεπόλεις, τοὺς πύργους τοὺς ἐκ τῶν ξύλων καὶ πάσας τὰς μηχανὰς καὶ πᾶν ἀφετήριον ὄργανον, ἅπερ ἦσαν ἅπαντα, ἐφ᾽ ἁμαξῶν τε κομίσαντες ἢ καὶ ἐνταῦθα κατασκευάσαντες, πυρσοὺς δι᾽ ὅλου τοῦ τείχους ποιήσαντες, κατέφλεξαν οἱ κατάρατοι, εἰκόνα τοῦ μέλλοντος αὐτοὺς ὑποδέξασθαι πυρὸς ἀσβέστου ἐντεῦθεν ἀνάψαντες, ὥστε δι᾽ ὅλης μὲν τῆς νυκτὸς ἅπαντα τὸν ἀέρα τὸν πρὸς δύσιν τῆς πόλεως τῇ πυρᾷ καταλάμπεσθαι, τῷ δὲ πλείστῳ μέρει τῆς ἐπιούσης ἡμέρας καπνοῦ πλήρη γενόμενον μηδὲ τὴν πόλιν ὁρᾶν μηδὲ αὐτὴν ἡμῖν συγχωρεῖν τότε τὴν θάλασσαν. Ὁ δὲ ἱεράρχης καὶ ὁ στρατηγὸς καὶ πλῆθος τῆς πόλεως ἀξιόλογον ἑστῶτες πρὸ τῆς πύλης, ἣν Χρυσῆν καλοῦμεν ἀπὸ τοῦ

πράγματος, καὶ τὸ πῦρ καὶ τὸν καπνὸν τῶν βαρβαρικῶν ὀργάνων θεώμενοι, τὰς χεῖρας ἀνατείναντες εἰς οὐρανούς, ἐβόων δάκρυα προχέοντες χαριστήρια· 'ἡ δεξιά σου, κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, κύριε, ἔθραυσεν ἐχθροὺς καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους'.

Καὶ οὕτω μὲν ὁ κύων ὁ ἀναιδὴς τὸν τῆς ἰδίας αἰσχύνης μισθὸν κομισάμενος, ἐπὶ τὴν αὐτὸς αὐτοῦ γῆν ὑπεχώρησεν, πολλὰς λογικῶν τε καὶ ἀλόγων χιλιάδας ἐξ ὧν ἐπηγάγετο νεκροὺς θεασάμενος καὶ τραυματίας ἐπιφερόμενος πλείονας, οὓς κατ' ὀλίγον θανεῖν ἐξήγγειλαν ἡμῖν οἱ αὐτόμολοι· ἔργῳ τοιγαροῦν μεμάθηκεν ὁ ἐμβρόντητος, ὡς οὐδεὶς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν οὐδὲ ἔστι δύναμις τῇ παναγίᾳ παρθένῳ ἀντωπῆσαι ἰσχύουσα. Καὶ οὕτω μὲν ὁ δυτικὸς ἐχθρός, ὁ τοῦ σκότους υἱός, μετ' αἰσχύνης ἀνέστρεψεν ἄπρακτος, πολλά, καθάπερ φασί, τοῖς εἰς τοῦτο θράσους αὐτὸν παρορμήσασι δικαίως ἐπιμεμψάμενος, εἰ καὶ μηδεὶς τῆς ἐκείνου κακίας διδάσκαλος γέγονεν.

Ὁ δὲ ἄλλος ἐχθρός, ὁ Βαβυλώνιος τύραννος, ὁ τῇ γείτονι Καλχηδόνι παρακαθήμενος, τὸν καπνὸν τοῦ πυρός, ὡς λόγος, θεώμενος, ὃν οἱ ἐκ δυσμῶν βάρβαροι ἐκ τῶν ἰδίων ὅπλων ἀνήγαγον, τὴν πόλιν, ὅπερ μηδέποτε Θεὸς συγχωρήσειεν, φαντασθεὶς ἐμπυρίζεσθαι, ἔχαιρεν ὁμοῦ καὶ κατηφείας ἐπέπληστο· ἔχαιρε μὲν γὰρ ἐκ πλάνης οἰόμενος καταλελύσθαι λοιπὸν τὰ Ῥωμαίων βασίλεια, ἔστενε δὲ καὶ ὠδύρετο, διότι μὴ αὐτός, ἀλλ' ἕτερος, ὡς ᾤετο, τύραννος τὴν πόλιν ἐπόρθησεν· οὕτω γὰρ ἦν ὑποσχόμενος ὁ Ὀλοφέρνης οὗτος Ναβουχοδονόσορ τῷ βασιλεῖ αὐτοῦ, ὡς ἢ πολεμῶν ἢ ἀπάτῃ κυριεῦσαι παρασκευάζει τὸν ἀλιτήριον ταύτης τῆς πόλεως. Διὸ καὶ πλείονας ἡμέρας τῇ Καλχηδόνι παρακαθήμενος καὶ μετὰ τὴν τῶν δυτικῶν ἐχθρῶν ἀναχώρησιν ἐλπίδας ἑαυτῷ τῆς ματαιόφρονος αὐτοῦ βουλῆς ἐνετύπου ὁ δείλαιος· ἀλλ' ὅτε λοιπὸν ὁ Θεός τε καὶ ἡ παρθένος εἰς τέλεον κἀκείνου τὰς ἐλπίδας κατήσχυναν, τότε δὴ καὶ αὐτὸς ὑπεχώρησεν, αἰσχύνην περιβαλλόμενος καὶ ἐντροπὴν ἀξίως ἀμφιασάμενος, καθὰ καὶ ὁ τούτου συνεργάτης καὶ τῆς κακίας συνέριθος.

Οἱ δύο τοίνυν δαλοὶ κατὰ τὸν σοφὸν Ἡσαΐαν ὤφθησαν καπνιζόμενοι, Ῥασὶν ὁ βασιλεὺς τῆς Συρίας καὶ ὁ τοῦ Φακεὲ παῖς ὁ Σαμαρείας ἡγούμενος· ὁ μὲν τῇ φλογὶ ᾗ ἐξέκαυσεν καὶ τῷ καπνῷ τοῦ πυρὸς αὐτοῦ, ὁ δὲ τῷ σκότει καὶ τῇ κατηφείᾳ τῆς πονηρᾶς αὐτοῦ συνειδήσεως, μηδὲ τὴν Ἱερουσαλὴμ βλάψαι ἰσχύσαντες μηδὲ σπέρμα Δαβὶδ τῆς βασιλείας ἐξώσαντες μηδὲ τὸν υἱὸν Ταβεὴλ βασιλεύσαντες, καθὰ συνέθεντο καὶ καθωμολόγησαν τοιαῦτα σύμφωνα θέμενοι, ἀλλ' αἰσχύνην αἰώνιον καὶ ὀνειδισμὸν κληρωσάμενοι ἐν πᾶσι λαοῖς τε καὶ ἔθνεσιν. Καὶ δέδεικται σαφῶς Ἡσαΐας ἡμῖν ὁ θειότατος προδιαγράψας ὡς ἐν σκιᾷ καὶ τύπῳ τῆς πάλαι Ἱερουσαλὴμ τὰ νῦν γενόμενα θαύματα, μὴ φοβηθῇς, εἰπὼν καὶ νῦν τῷ σπέρματι τοῦ Δαβὶδ τοῦ καθ' ἡμᾶς βασιλεύοντος, τὴν τῶν δύο δαλῶν τῶν καπνιζομένων τούτων κατὰ σοῦ καὶ τῆς πόλεως καὶ τοῦ λαοῦ μου σύμφωνον ἐπανάστασιν. Καὶ ταῦτα μὲν ὅσα τὸν θεῖον Ἡσαΐαν ὡς ἐν σκιᾷ καὶ τύπῳ ἐπὶ τῆς Ἱερουσαλὴμ καὶ Ἄχαζ τοῦ κατ' ἐκεῖνο καιροῦ τῶν δύο φυλῶν

βασιλεύσαντος οἶδα προδιαγράψαντα· αὐτόπται γὰρ καὶ θεωροὶ γεγόναμεν ἅπαντες, ὡς μιᾷ ὁρμῇ τὴν ἀμφοτέρων τῶν ἐχθρῶν ἡ παρθένος καὶ Θεοτόκος ἰσχὺν ἐτροπώσατο, οὐ σειρομάστου πληγῇ καθὰ Φινεὲς ἐποίησε τῷ Ἰσραηλίτῃ τὴν Μαδιανίτιν συνεκκεντήσας, λόγῳ δὲ καὶ θελήματι μόνῳ τοῦτόν τε κἀκεῖνον ἅμα καταβαλοῦσα καὶ ἀπελάσασα. Οὐ μόνον γὰρ ὁ δυτικὸς μετ᾽ αἰσχύνης ἀνέστρεψε τύραννος, ἀλλὰ καὶ Πέρσης μετ᾽ ἐντροπῆς ὑπεχώρησε, ταῦτα κατὰ τὸ εἰκὸς λογιζόμενος· 'εἰ ἔθνη οὕτως ἰσχυρὰ καὶ ψάμμῳ παρεικαζόμενα τοῖς μὲν τείχεσι τῆς πόλεως ἐπὶ τοσαύτας ἡμέρας ἐγγίσαντα, τῇ δὲ πρὸς θαλάσσῃ γῇ ἀμάχως προσψαύσαντα οὐδὲν κατὰ τῆσδε τῆς πόλεως πρᾶξαι ἐξίσχυσαν, ἀλλὰ καὶ οὕτως ἀπώλοντο, τί λοιπὸν ἐγὼ μάτην τῇ θαλάσσῃ ἔφεδρος παρακάθημαι, κενὰς ἐμαυτῷ ἐλπίδας ὑποτιθέμενος; δῆλόν ἐστιν, ὅτι δύναμίς τις θεία καὶ ὑπὲρ ἄνθρωπον ταύτην τὴν πόλιν φυλάττει καὶ διεφύλαξεν ἄτρωτον καὶ οὐκ ἔσται οὐδεὶς ὁ κακῶσαι ταύτην δυνάμενος'. Ταῦτα λέγοντα τὸν ὀλέθριον εἰκὸς ὑποχωρῆσαι θαυμάζοντα· ποιεῖ γὰρ καὶ βαρβάρους ἐλπίδων ἀπόγνωσις λογίζεσθαι τοῦ Θεοῦ τὴν ἀκαταμάχητον δύναμιν· τοῦτο γὰρ πεπόνθασι καὶ Αἰγύπτιοι τῆς θείας ἐν θαλάσσῃ πειραθέντες δυνάμεως 'φύγωμεν', λέγοντες, 'φύγωμεν, ὅτι κύριος πολεμεῖ τοὺς Αἰγυπτίους ὑπὲρ τοῦ Ἰσραήλ'.

Ἦλθεν δέ μοι ἐπὶ νοῦν καὶ Ἰεζεκιὴλ τοῦ τῶν μεγάλων ἐπόπτου λόγων καὶ θεαμάτων νῦν τὴν προφητείαν ἐσχηκέναι τὴν ἔκβασιν, ἐν οἷς ἐκεῖνος τῷ προφητικῷ κινούμενος πνεύματι περὶ τοῦ Γὼγ ἐν ἱεροῖς προεφήτευσε γράμμασι. Τὸν Γὼγ δὲ ἄθροισμα ἐνθνῶν κατὰ τὴν Ἑβραΐδα σημαίνειν εἰρήκασιν ἔνιοι· οὐδὲ γὰρ ἄνδρα τούτῳ κεκλημένον ἐπίστανταί ποτε τῷ ὀνόματι. Καὶ δοκεῖ μὲν κατὰ τὸ πρόχειρον περὶ τῆς γῆς Ἰσραὴλ τοῦ κατὰ σάρκα λαοῦ Ἰεζεκιὴλ προπεφητευκέναι τὰ οὕτω λεγόμενα, ἀλλ᾽ ὁ χρόνος, καθ᾽ ὃν ὁ προφήτης τοῦ προφητεύειν ταῦτα ἠξίωτο, καὶ τὰ ἐκεῖθεν κατὰ τῆς Ἰουδαίας ἐν πολέμοις γινόμενα, οὐ δίδωσιν χώραν περὶ τῆς γῆς Ἰσραήλ, τοῦ ἐν περιτομῇ σαρκὸς τὴν καύχησιν ἔχοντος, τὰ λεγόμενα δέξασθαι· ὁ μὲν γὰρ προφήτης Ἰεζεκιὴλ μετὰ τὴν ἐν Βαβυλῶνι τοῦ λαοῦ αἰχμαλωσίαν γέγραφε τὰ λεγόμενα, μετ᾽ ἐκεῖνον δὲ τὸν χρόνον οὐκέτι ἔθνη κατὰ τῆς Ἰουδαίας στρατεύσαντα ἀνεχώρησαν ἄπρακτα ἤ, καθὼς φησιν ὁ προφήτης, θηρίοις καὶ πετεινοῖς γεγόνασι παρανάλωμα. Ῥωμαῖοι μὲν γὰρ καὶ Τίτος μετὰ τοὺς χρόνους, καθ᾽ οὓς Ἰεζεκιὴλ προεφήτευε, κατὰ τῆς Ἰουδαίας στρατεύσαντες τόν τε ναὸν κατήγαγον διὰ πυρὸς εἰς γῆν καὶ τὴν πόλιν εἰς ἔδαφος, τοῦ δὲ λαοῦ τὸ μὲν πλεῖστον λιμῷ καὶ μαχαίρᾳ διέφθειραν, τὸ δὲ λειπόμενον αἰχμάλωτον καὶ τὰ ἅγια ἔλαβον· πρὸ δὲ Τίτου καὶ Ῥωμαίων, ἡνίκα Ματταθίας σὺν παισὶν ἀντέστη τοῖς ἔθνεσι τοῖς προσοίκοις τῆς Ἰουδαίας, τὸ κατάλοιπον τοῦ λαοῦ ἐκτρῖψαι σπουδάσασι, πλεονάκις μὲν πεπτώκασιν οἱ πολέμιοι, οὐδὲν δὲ ὧν ὁ προφήτης γέγραφε, συμβεβηκὸς ἐν ἐκείνοις τοῖς πολέμοις εὑρίσκεται. Ὅταν τοίνυν ὁ χρόνος τε καὶ τὰ πράγματα οὐ δίδωσι χώραν περὶ τῆς γῆς ἐκείνης τοῦ Ἰσραὴλ τὰ προφητευόμενα δέχεσθαι, ζητεῖν προσήκει, τίνα φησὶν Ἰσραὴλ ὁ προφήτης καὶ τίνα τὴν γῆν αὐτοῦ, καθ᾽ ὃν ὁ Γὼγ ἐπεστράτευσε καὶ ὀρνέοις καὶ θηρίοις ἐδόθη κατάβρωμα.

Ἀλλ' ἵνα τὸ λεγόμενον σαφὲς ᾖ καὶ εὐσύνοπτον, ἐξ αὐτῶν παραγαγεῖν τοῦ προφήτου τῶν ἐν τῷ τόπῳ ῥημάτων εὔλογον καθέστηκε καὶ ἀκόλουθον, ἡ παραγωγὴ δὲ τῶν προφητικῶν ῥημάτων γενήσεται οὐχ ὅλη δι' ὅλου κατὰ συνέχειαν, κεφαλαιωδέστερον δὲ διὰ τὸ μῆκος τῆς χρήσεως· ʻἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Γὼγ καὶ προφήτευσον ἐπ' αὐτὸν καὶ εἰπὸν αὐτῷ· τάδε λέγει κύριος, κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ ἄρχοντα Ῥώς, Μεσὸχ καὶ Θοβέλ, καὶ συνάξω σε καὶ πᾶσαν τὴν δύναμίν σου, ἵππους καὶ ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας συναγωγῇ πολλῇ, πέλται καὶ περικεφαλαῖαι, Πέρσαι καὶ Αἰθίοπες καὶ Λίβυες καὶ σὺ μετ' αὐτῶν· καὶ συναχθήσεται ἀπ' ἐσχάτου βορρᾶ καὶ ἔθνη πολλὰ μετὰ σοῦ. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναβήσεται ῥῆμα ἐπὶ τὴν καρδίαν σου καὶ λογισμοὺς πονηροὺς καὶ ἐρεῖς· ἀναβήσομαι ἐπὶ γῆν ἀπερριμμένην, ἥξω ἐπὶ λαὸν ἡσυχάζοντα ἐν ἡσυχίᾳ καὶ οἰκοῦντας ἐπ' εἰρήνης γῆν, ἐν ᾗ οὐχ ὑπάρχει τεῖχος οὐδὲ μοχλοί, καὶ θύραι οὐκ εἰσὶν αὐτοῖς προνομεῦσαι προνομὴν αὐτῶν καὶ σκυλεῦσαι σκῦλα αὐτῶν· ἀναβήσομαι ἐπὶ τοὺς κατοικοῦντας τὸν ὀμφαλὸν τῆς γῆς, Σαββὰ καὶ Δαιδὰν καὶ ἔμποροι Χαλκηδόνιοι, καὶ ἐγερθήσει καὶ ἥξεις ἐκ τοῦ τόπου σου ἀπ' ἐσχάτου βορρᾶ καὶ ἔθνη πολλὰ μετὰ σοῦ, ἀναβάται ἵππων πάντες· καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου Ἰσραὴλ ὡς νεφέλη καλύψαι γῆν· καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου, ἵνα γνῶσιν πάντα τὰ ἔθνη ἐμὲ ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον αὐτῶν. Τάδε λέγει κύριος, κύριος τῷ Γώγ· ἀναβήσεται ὁ θυμός μου καὶ ὁ ζῆλός μου ἐν πυρὶ τῆς ὀργῆς μου καὶ μεγαλυνθήσομαι καὶ ἁγιασθήσομαι καὶ ἐνδοξασθήσομαι καὶ γνωσθήσομαι ἐνώπιον ἐθνῶν πολλῶν, καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος. Καὶ ἀπολῶ τὸ τόξον σου ἀπὸ τῆς χειρὸς τῆς ἀριστερᾶς σου καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρὸς τῆς δεξιᾶς σου καὶ καταβαλῶ σε ἐπὶ τὰ ὄρη Ἰσραὴλ καὶ πέσῃς σὺ καὶ πάντες οἱ περὶ σὲ καὶ τὰ ἔθνη τὰ μετὰ σοῦ δοθήσονται εἰς πλῆθος ὀρνέων· καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου δέδωκά σε καταβρωθῆναι· καὶ κατοικισθήσονται αἱ νῆσοι ἐπ' εἰρήνης. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, κύριος· δώσω τῷ Γὼγ τόπον ὀνομαστὸν μνημεῖον ἐν Ἰσραήλ, τὸ πολυάνδριον τῶν ἐπελθόντων ἐν τῇ θαλάσσῃ, καὶ κατορύξουσιν ἐκεῖ τὸν λαὸν τοῦ Γώγ· λέγει κύριος, κύριος.'

Ἰδοὺ τῶν προφητικῶν ῥημάτων ἠκούσατε· σκοπείτω τοίνυν ὁ μετ' εὐγνωμοσύνης κρίνειν δυνάμενος, εἰ τῷ πάλαι Ἰσραὴλ καὶ τῇ γῇ αὐτοῦ ἁρμόζουσι τὰ οὕτω προφητευόμενα ἢ ἐπ' ἐκείνων ἔχειν τὴν ἔκβασιν δύνανται· ὅτε γὰρ χρόνος ἐκκρούει τὸ χρησμῳδούμενον καὶ οἱ τόποι, ἐν οἷς ὁ προφήτης λέγει ταῦτα συμβήσεσθαι, οὐ τὴν γῆν τοῦ κατὰ σάρκα Ἰσραὴλ νοεῖν ἐπιτρέπουσι· πρὸς τῇ θαλάσσῃ γὰρ ὁ προφήτης ἔφη τῶν ἐπελθόντων ἐθνῶν κατὰ τῆς γῆς Ἰσραὴλ τὸ πολυάνδριον ἔσεσθαι καὶ τὰς νήσους ἐκ τῆς ἐκείνων πτώσεως ἔχειν τὸ ἄφοβον, οὐ λέληθε δέ με, ὡς ὁ προφήτης καταβληθήσεσθαι καὶ πεσεῖν σὺν τοῖς ἔθνεσιν καὶ αὐτὸν τὸν Γὼγ προεφήτευσε, καὶ ἔστιν ὅτε ὑποκρούσειέν τις καὶ φήσειεν, ὅτι, ἐφ' ὅσον ὁ παλαμναῖος ἐκεῖνος σὺν τοῖς ἀπολομένοις οὐκ ἔπεσεν, οὐ καλῶς

ἡ χρῆσις τοῦ προφήτου ἐπὶ τῶν νυνὶ συμβεβηκότων παράγεται· ἀλλ' ἴσασι πάντες οἱ τῶν ἱερῶν γραφῶν ἀκριβεῖς ἐπιστήμονες, ὡς τὸ πεσεῖν παρὰ τῇ θείᾳ γραφῇ πολύσημόν ἐστι καὶ πολύτροπον, πολλαχῶς καὶ διαφόρως νοούμενον· λέγεται δὲ πεσεῖν καθ' ἓν σημαινόμενον φρόνημά τινων ἀφρόνων ἐξ ἐλπίδων ἐκπτώσεως· κατὰ τοῦτο τοίνυν τέως πεσεῖν τὸν ἀλάστορα τύραννον Ἰεζεκιὴλ ὁ θεῖος προφήτης δεδήλωκεν, κἂν ὅτι καὶ τὸ πεσεῖν τὸ μάχιμον τοῦ λαοῦ αὐτοῦ ἐκεῖνον πεσεῖν ἔργῳ καὶ πράγματι δέδειχεν· εἰ δὲ ἄλλως καὶ οὐχ οὕτως Ἑβραίων παῖδες τὰ τοῦ προφήτου νοεῖν ἐθέλοιεν ῥήματα, νοείτωσαν μέν, καθά γε βούλονται· ποῖον δὲ δείξουσιν πολυάνδριον πρὸς τῇ θαλάσσῃ τῶν ἐπελθόντων ἐθνῶν μετὰ Γὼγ κατὰ τῆς γῆς Ἰσραὴλ γενόμενον; πώποτε ἢ πῶς αἱ νῆσοι μετ' εἰρήνης κατῳκίσθησαν, ἡνίκα Γὼγ κατὰ τοῦ Ἰσραὴλ στρατεύσας ἀπώλετο; Εἰ τοίνυν μετὰ τὴν Ἰουδαίων αἰχμαλωσίαν, καθ' ἣν Ἰεζεκιὴλ προεφήτευσεν, οὐδὲν ἐπὶ τῆς γῆς τοῦ κατὰ σάρκα Ἰσραὴλ τῶν προφητικῶν ῥημάτων ἔσχε τὴν ἔκβασιν, τί προσῆκεν ἔτι λογίζεσθαι; Ῥωμαῖοι γάρ, καθὰ προδεδήλωται, μετὰ ταῦτα κατὰ τῆς γῆς τοῦ Ἰσραὴλ κινήσαντες πόλεμον, ἅπασαν τὴν γῆν ἐρημώσαντες μετὰ σκύλων ἀνέστρεψαν τὸ μὲν πλεῖστον τοῦ λαοῦ οἰκτίστῳ λιμῷ καὶ φόνῳ μαχαίρας καταναλώσαντες, τὸ δὲ λειπόμενον λαβόντες αἰχμάλωτον, ἐπὶ δὲ τῶν Ἀσαμωναίων οἱ Ματταθίου παῖδες ἠρίστευσαν μὲν κατὰ τῶν προσοίκων ἐθνῶν τῶν ἐκθλιβόντων τὸν Ἰσραήλ, οὐδὲν δὲ τῶν ὑπὸ τοῦ προφήτου λεγομένων συμβέβηκε τοῖς κατὰ τῆς γῆς τοῦ Ἰσραὴλ τότε στρατεύσασιν ἔθνεσι. Λείπεται οὖν μετὰ ταῦτα σκοπεῖν, εἰ πρὸς τὸν [Θεὸν] ἔπειτα χρόνον δυνατὸν λαβεῖν τὰ προφητικὰ τὴν ἔκβασιν ῥήματα· ὅτι τοίνυν ἐν διασπορᾷ ἐν πᾶσι τοῖς ἔθνεσιν Ἰουδαῖοι ἅπαντες ὑπάρχουσι σήμερον καὶ γῆν ὁ κατὰ σάρκα Ἰσραὴλ ἰδίαν οὐ κέκτηται, καθ' ἧς ὁ Γὼγ στρατεῦσαι δυνήσεται, προνομεῦσαι προνομὴν καὶ σκυλεῦσαι σκῦλα διανοούμενος, δῆλον καθέστηκε τοῖς λόγου μετέχουσιν ἅπασι. Τί οὖν ἔσται τὸ μετὰ ταῦτα πρὸς πόλεμον τὰ ἔθνη κατὰ τῆς γῆς τοῦ Ἰσραὴλ ἐκείνης κινῆσαι δυνάμενον; ἐλπὶς αἰχμαλωσίας καὶ λαῶν ἀπαγωγὴ καὶ χρημάτων ἁρπαγαὶ καὶ ὅσα ζητεῖ καὶ δι' ἃ παρὰ βαρβάρων ἐθνῶν κινεῖσθαι πόλεμος εἴωθεν. Οὐκ ἔστιν τούτων οὐδὲν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ ἐκείνῃ νῦν ἢ εἰς ὕστερον, δι' ὧν πρὸς πόλεμον κατ' αὐτῆς κινηθήσεται. Εἰ τοίνυν οὐδὲ κατὰ τὸν φθάσαντα οὐδὲ κατὰ τὸν μέλλοντα χρόνον τὰ τοῦ προφήτου ῥήματα ἔσχον ἢ ἕξουσιν ἔκβασιν, κατὰ τὸν ἐνεστῶτα λείπεται καιρὸν ταῦτα σὺν ἀληθείᾳ λογίζεσθαι.

Οὐκοῦν καλῶς ἐπὶ νοῦν ἐπῆλθέν μοι, εἰ μὴ προπετὲς τὸ λεγόμενον, Γὼγ νοῆσαι τὸ ἄθροισμα τῶν ἐθνῶν ὧν καθ' ἡμῶν ὁ λυσσώδης κύων κεκίνηκε· τὸ γὰρ Γὼγ ὄνομα ἐθνῶν σημαίνειν πλήθη καὶ ἄθροισμα καὶ παρ' ἑτέρων μεμάθηκα, γῆν δὲ Ἰσραὴλ τήνδε τὴν πόλιν νενόηκα, ἐν ᾗ Θεὸς καὶ ἡ παρθένος εὐσεβῶς δοξάζονται καὶ πάσης εὐσεβείας τελοῦνται μυστήρια· τοῦτο γάρ ἐστι τὸ εἶναι ὡς ἀληθῶς Ἰσραὴλ τὸ ἐν ἀληθινῇ καρδίᾳ καὶ ψυχῇ θελούσῃ δοξάζειν τὸν κύριον, καὶ γῆν οἰκεῖν Ἰσραὴλ δόλον οὐκ ἔχουσαν τὸ ἐν παντὶ τόπῳ θυσίας τῷ Θεῷ καθαρὰς καὶ ἀναιμάκτους προσφέρεσθαι. Τί δὲ ἄλλο καὶ οὐχὶ τοῦτο ἡ πόλις

αὕτη καθέστηκεν, ἣν ἅπασαν θυσιαστήριον ὁ καλῶν τοῦ Θεοῦ οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος ὁ δι' ὅλου βλέπων μίαν ἐκκλησίαν ὑπάρχουσαν Θεῷ καὶ τῇ παρθένῳ δόξαν καὶ ὕμνους προςάγουσαν. Κατὰ ταύτης τοίνυν τῆς γῆς Ἰσραὴλ ὁ Γὼγ ἤγουν τὰ ἔθνη ἠθροίσθησαν 'ἀναβησώμεθα' λέγοντες 'ἐπὶ τοὺς κατοικοῦντας τὸν ὀμφαλὸν τῆς γῆς, ἔνθα Σαββὰ καὶ Δαιδὰν καὶ ἔμποροι Καλχηδόνος, καὶ σκυλεύσωμεν σκῦλα καὶ προνομὴν προνομεύσωμεν, τὸ δὲ Σαββὰ καὶ Δαιδὰν ἔθνη Ῥωμαίοις ὑπήκοα λέγουσιν οἱ τῶν ὀνομάτων τῶν παρ' Ἑβραίοις τὴν ἑρμηνείαν γινώσκοντες. Καὶ ἵνα μὴ περιεργοτέρως δόξω τοῦ δέοντος καὶ εἶναι τὰ περιττὰ μεγαλόψυχος, τὰ περὶ τούτων ἑκὼν παρελεύσομαι· ἔμποροι δὲ Καλχηδόνιοι, ὧν ὁ προφήτης μνήμην πεποίηται, εἰ μὲν οἱ πρόσοικοι τῆςδε νοοῦνται τῆς πόλεως, ἔχει τὸ εὔδρομον ὁ λόγος καὶ ἀναντίρρητον· εἰ δὲ φήσειέν τις, ὡς Καλχηδόνιοι οἱ ἐκ Λιβύης λέγονται ἔμποροι, καὶ οὕτως ἡ γῆ τοῦ κατὰ σάρκα Ἰσραὴλ οὐκ ἔχει χώραν διὰ τοῦ προφήτου σημαίνεσθαι· οὐδέποτε γὰρ ἔμποροι Καλχηδόνιοι εἰς τὴν γῆν ἐκείνην τοῦ Ἰσραὴλ ἐμπορίαν πεποίηνται.

Ἐπισκεπτέον δὲ καὶ τούτοις τοῦ προφήτου τοῖς ῥήμασιν, ἐν οἷς φησιν λογισμοὺς πονηροὺς τὸν Γὼγ λογιζόμενον 'ἀναβήσομαι' εἰπεῖν 'ἐπὶ γῆν ἀπερριμμένην καὶ ἥξω ἐπὶ λαὸν ἡσυχάζοντα καὶ οἰκοῦντα ἐπ' εἰρήνης γῆν, ἐν ᾗ οὐχ ὑπάρχει τεῖχος οὐδὲ μοχλοί, καὶ θύραι οὐκ εἰσὶν αὐτοῖς προνομεῦσαι προνομὴν καὶ σκυλεῦσαι σκῦλα αὐτῶν· καὶ ἀναβήσομαι ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς.' Ἀπερριμμένην γὰρ γῆν καὶ ἀδέσποτον τὴν πόλιν ἐνόμισεν ὁ ἀνόητος, μεμαθηκὼς τοῦ μεγάλου βασιλέως τὴν ἔξοδον· λαὸν δὲ ἡσυχάζοντα καὶ ἐπ' εἰρήνης οἰκοῦντα ὑπέλαβε τὸν ταύτης οἰκήτορα, ἀπειροπόλεμόν τε καὶ ἄνανδρον τὸ Χριστιανῶν φῦλον οἰόμενος· ἡνίκα γὰρ ἐξ ἐφόδου ὁ κύων ὁ ἀναιδέστατος τοῖς Μακροῖς ἀδοκήτως τείχεσιν ἐπελθὼν ἔπραξεν, ὅσα καὶ ἔπραξεν, εἶπεν, ὡς ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστιν Θεός, οὐδὲ τείχεσι τῇ παρθένῳ καὶ τῷ βραχίονι τῆς θείας δυνάμεως ἡ πόλις φυλάττεται. Διὸ ἀναβήσομαι ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς καὶ προνομεύσω προνομὴν καὶ σκῦλα σκυλεύσω· καὶ οὐκ ἔσται ὁ ἀνθιστάμενος· τὸ γὰρ ἄπληστον τοῦ βαρβάρου καὶ φιλοχρήματον ταῦτα τοῦτον διανοεῖσθαι ἀνέπεισαν· ὀμφαλὸν δὲ τῆς γῆς τίνα ἕτερον τόπον ὀνομάζεσθαι δίκαιον ἢ τὴν πόλιν, ἐν ᾗ τὰ Χριστιανῶν Θεὸς βασίλεια ἵδρυσε καὶ ἣν ὡς ἔκ τινος μεσαιτάτης περιωπῆς ἀνατολῇ τε καὶ δύσει δι' ἑαυτῆς μεσιτεύειν ἐποίησε. Κατὰ ταύτης ἄρχοντες καὶ λαοὶ καὶ ἔθνη συνήχθησαν, ὧν τὸ κράτος κατέβαλε κύριος ὁ εἰπὼν τὴν Σιών· 'θάρσει Σιών, μὴ παρείσθωσαν χεῖρές σου· ἰδοὺ ὁ Θεός σου ἐν σοί, δυνατὸς τοῦ σώζειν σε'. Ἐν ταύτῃ τῶν ἐθνῶν τὸ ἄθροισμα ἐκ τῶν ἐσχάτων τοῦ βορρᾶ παραγέγονεν, ἵπποι καὶ ἱππεῖς ἐνδεδυμένοι τοὺς θώρακας καὶ σὺν αὐτοῖς οἱ Πέρσαι· καὶ τοῦτο γὰρ ῥητῶς διὰ τοῦ προφήτου δεδήλωται· ὧν τὰ τόξα ἀπώλεσεν ἐκ τῆς ἀριστερᾶς χειρὸς ἡ ἰσχὺς τοῦ Θεοῦ ἡμῶν καὶ τὰ τοξεύματα ἐκ τῆς δεξιᾶς ἡ παρθένος συνέθλασεν· ἔπεσόν τε ἐπὶ τὰ ὄρη τοῦ Ἰσραὴλ θηρίοις καὶ πετεινοῖς δοθέντες κατάβρωμα. Τὰ δὲ οὕτως ὑπὸ τοῦ Ἰεζεκιὴλ τοῦ θείου προφητευόμενα· 'ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει κύριος, κύριος, δώσω τῷ Γὼγ τόπον ὀνομαστὸν

μνημεῖον ἐν Ἰσραήλ, τὸ πολυάνδριον τῶν ἐπελθόντων ἐν τῇ θαλάσσῃ, καὶ κατορύξουσιν ἐκεῖ πάντα τὸν λαὸν τοῦ Γὼγ' οὐκ ἄλλο τι σημαίνειν ὑπείληφα ἢ τὸν ὄλεθρον τῶν ἀλλοφύλων ἐθνῶν τῶν ἐπελθόντων ἐν τῇ θαλάσσῃ, ὧν τὰ πλήθη Θεὸς καὶ ἡ παρθένος ἐν τῷ κόλπῳ τοῦ Κέρατος κατεπόντισαν. Ὀνομαζέσθω τοίνυν ὁ κόλπος οὐ κόλπος μόνον ἔτι τοῦ Κέρατος, εἰ καὶ κέρας σωτηρίας ἐν αὐτῷ τῇ πόλει ἡ Θεοτόκος γεγένηται, ἀλλὰ τοῦ Γὼγ τὸ πολυάνδριον καὶ μνημεῖον ἐθνῶν τῶν ἐπελθόντων ἐν τῇ θαλάσσῃ καὶ θάλασσα Ἐρυθρὰ σὺν ἅρμασι Φαραὼ τὴν δύναμιν αὐτοῦ πᾶσαν καταποντίσασα. Ὁ γὰρ ζῆλος κυρίου Σαβαὼθ Θεοῦ παντοκράτορος ταῦτα πεποίηκε καὶ καθά φησιν ὁ προφήτης· 'ἐμεγαλύνθη καὶ ἡγιάσθη καὶ ἔνδοξος γέγονε κύριος ὁ Θεὸς ἡμῶν ἐνώπιον ἐθνῶν καὶ λαῶν· καὶ ἔγνω πᾶσα ἡ γῆ, ὅτι μόνος αὐτός ἐστιν ὁ κύριος· ἔμαθον γάρ, ἐξ ὧν ἔπαθον οἱ πολέμιοι, κἂν ἐν σκότει διαπορεύονται καὶ τῆς δικαιοσύνης ὁ ἥλιος οὐκ ἀνέτειλεν αὐτοῖς, ὅτι θάνατος ποιμανεῖ αὐτοὺς καὶ ἡ βοήθεια αὐτῶν ἐν ᾅδῃ παλαιωθήσεται καὶ τῆς δόξης αὐτῶν ἐξώσθησάν τε καὶ ἐξωσθήσονται'. Ἐνταῦθα τοῦ προφήτου Ἰεζεκιὴλ τὰ ῥήματα καὶ τὴν δόξασαν ἐν αὐτοῖς ἐπιτήρησιν περιστῆσαι καλῶς ἔχειν ὑπέλαβον, τὸ περιττολογεῖν γινώσκων οὐκ ἀνυπεύθυνον· ἐν ὑμῖν δὲ ἔστω ἡ ἐξουσία τῆς κρίσεως τοῖς συνετῶς ἐντυγχάνουσιν ἢ τοῦ δέξασθαι ὡς ἀναγκαίως παρηγμένης τῆς χρήσεως ἢ ὡς οὐκ εὐλόγως παρατεθείσης σὺν τοῖς λοιποῖς διορθώσασθαι· ἡ γὰρ σωτηρία, ἣν εἰς ἡμᾶς ἐνεδείξατο κύριος, οὐκ ἀμφίβολος, ἀλλὰ πρόδηλος.

Καλὸν δὲ καὶ πρόσφορον τὴν καθ' ἡμᾶς Δεββῶραν τὴν ἐπινίκιον ᾄδουσαν κατὰ τοῦ Σισάρα τούτου ᾠδήν, τοῖς τῆς παλαιᾶς Δεββώρας χρήσασθαι ῥήμασι. Δεββῶραν δὲ <τὴν> καθ' ἡμᾶς καλῶ τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣ τὸν καθ' ἡμᾶς Σισάρα, τὰς χεῖρας ἄρασα πρὸς Θεὸν κατηκόντισε· διέκυπτε γὰρ καὶ τοῦ Σισάρα τούτου ἡ μήτηρ διὰ θυρίδος δικτυωτῆς, ἤδη νομίζουσα τὸν υἱὸν σκῦλα διαμερίζεσθαι· λεγέτω τοίνυν Δεββῶρα ἡ καθ' ἡμᾶς ᾄδουσα τῷ Θεῷ ἡμῶν ᾆσμα τὸ ἐπινίκιον· 'ἀκούσατε βασιλεῖς καὶ ἐνωτίσασθε σατράπαι· τῷ κυρίῳ ᾄσωμεν Θεῷ Ἰσραήλ· οἱ δυνάσται τοῦ λαοῦ εὐλογεῖτε τὸν κύριον· ἐφ' ὁδῷ φθέγξασθε φωνὴν ἀνακρουομένων ἀναμέσον εὐφραινομένων· δώσουσι δικαιοσύνην κυρίῳ· κύριε δικαιοσύνας ἐνίσχυσον ἐν τῷ Ἰσραὴλ καὶ ταπείνωσον ἰσχυροτέρους λαοῦ σου'. Ταῦτα μὲν λεγέτω ἡ καθ' ἡμᾶς Δεββῶρα, ἡ τοῦ Θεοῦ ἐκκλησία, καὶ τῇ νεκρώσει τοῦ σώματος δονοῦσα τὸ τύμπανον, ὡς πάσης παρθενικῆς ἐξάρχουσα καθαρότητος, καθὰ καὶ ἡ Μωσέως πέπραχεν ἀδελφή. Ἄισωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται, ὅτι πέπτωκε Βὴλ καὶ συνετρίβη Δαγὼν καὶ ᾐσχύνθησαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς· ἐνετράπησαν οἱ ἐν εἰδώλοις καυχώμενοι· ἡμεῖς δὲ ὁ λαός, ὃν ἐκ τοσούτων κακῶν ὑπὲρ ἐλπίδας ἐρρύσατο κύριος, ὃν ἐκ θανάτου καὶ πικρᾶς δουλείας προσδοκηθείσης τῇ ἰσχύϊ τοῦ ἰδίου βραχίονος ἐλυτρώσατο, φανῶμεν δι' ἔργων ἀγαθῶν εὐγνωμονοῦντες τῷ σώσαντι· οὐδὲ γὰρ πᾶς ὁ λέγων κύριε, κύριε, ἀλλ' ὁ τὸ θέλημα ποιῶν τοῦ κυρίου σωθήσεται.

Μὴ τοίνυν μόνα σκοπήσωμεν, ἅπερ οἱ βάρβαροι εἰς ἡμᾶς ἐνεδείξαντο,

οἴκους ἀψύχους ἐμπρήσαντες καὶ γῆς τὸ κάλλιστον ἀφανίσαντες, καὶ τούτῳ τῷ τρόπῳ τὴν χάριν τῆς σωτηρίας καὶ τὴν δωρεὰν σμικρύνωμεν τῆς λυτρώσεως, ἀλλὰ καὶ ὅσων καὶ οἵων ἡμᾶς ὀλέθρων ἐξήρπασε κύριος· καὶ τότε γνωσόμεθα τὰ μεγέθη, ὧν ἡμῖν ὁ Θεὸς καὶ ἡ παρθένος ἀγαθῶν ἐδωρήσαντο. Ἡμεῖς μὲν γὰρ ὀφθαλμοῖς ἰδεῖν ὅσον οὔπω προσεδοκήσαμεν, ἱερεῖς μὲν καὶ ἄρχοντας καὶ λαὸν οὔπω τεθραμμένον, ὅσοι τὸν θάνατον ὡς εἰκὸς ἐκφυγεῖν ἠδυνήθησαν καὶ τὸ ζῆν ἐλεεινῶς ἀντηλλάξαντο, χειροπέδαις σιδηραῖς δεδεμένους καὶ εἰς γῆν ἀπαγομένους ἀλλοφύλων ἐπὶ δουλείᾳ πικρᾷ καὶ ὀδυνηρᾷ τῇ ζωῇ, ἧς πολλῷ τῷ μέτρῳ τιμιώτερός ἐστιν ὁ θάνατος· γύναια δὲ καὶ τέκνα τὰς μὲν ὑβριζομένας αἰσχρότητι καὶ βαρβαρικῆς γινομένας ἀσωτίας παίγνιον ἅμα καὶ γέλωτα, τῶν ὁμοζύγων ὁρώντων καὶ μηδὲ ὡς δεινὰ πασχόντων τολμώντων ὀδύρασθαι, τέκνα δὲ σφαζόμενα, ὅσα δουλεύειν ἐκ τῆς ἡλικίας οὐκ ἴσχυον, τὰ δὲ δουλεύειν δυνάμενα χερσὶν ἀλλοφύλων ἐπ᾽ ὄψεσιν ἡμετέραις ἑλκόμενα· οὗ τί γένοιτο ἐλεεινότερον θέαμα; θείους τε ναοὺς καὶ βασίλεια καὶ πόλιν ἅπασαν καταγομένην εἰς ἔδαφος ἐπιστρέφεσθαί τε καὶ καθορᾶν καὶ λογίζεσθαι, εἴγε κἂν τοῦτο συνεχωρήθημεν, οἷον μέγεθος πόλεως καὶ καλλονὴν κτισμάτων καὶ περιφάνειαν οἴκων ἐκ πλήθους ἁμαρτιῶν ἠφανίσαμεν καὶ ὧν οἰκήτορες ὑπάρχειν οὐκ ἠξιώθημεν. Τούτων τοίνυν ἁπάντων ὑπὸ κυρίου λελυτρωμένοι, τίνα πρὸς εὐχαριστίαν ὑπὲρ ἡμῶν Θεῷ καὶ τῇ παρθένῳ τῇ Θεομήτορι, ἀνθ᾽ ὧν πεπόνθαμεν, προστησώμεθα; τίνα πρὸς αἶνον καὶ δόξαν, ὑπὲρ ὧν ἀναξίως εὐεργετήθημεν, προβαλώμεθα; 'ὅτι εἰσήκουσεν τῶν πενήτων ὁ κύριος καὶ τοὺς πεπεδημένους οὐκ ἐξουδένωσεν· αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ· ὅτι ἔσωσεν κύριος ὁ Θεὸς τὴν Σιὼν καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν'. Καὶ ἡμεῖς δὲ καθ᾽ ὅσον ἔχει δυνάμεως ἕκαστος, μὴ ἄκαρποι φανῶμεν μηδὲ ἀργοὶ καὶ ἀκίνητοι πρὸς τὴν δι᾽ ἔργων ἀγαθῶν δόξαν καὶ αἶνον τοῦ σώσαντος.

Τούτων δὲ οὕτω φιλανθρωπίᾳ Θεοῦ τοῦ ἐλεήσαντος τῶν θαυμασίων εἰς ἡμᾶς γενομένων φασὶν οἱ ἐκ βασιλέως τοῦ πιστοῦ καὶ μεγάλου βασιλικὰς ἀποκρίσεις κομίζοντες, ὡς νύκτα τε καὶ ἡμέραν ὦτα καὶ ὀφθαλμοὺς ἀνεῳγμένους εἶχε καὶ τὴν διάνοιαν, ἐσκόπει τε καὶ περιεσκόπει τὰς ὁδοὺς καὶ τὴν θάλασσαν, ἀκοίμητον ἔχων τὸ τῆς ψυχῆς φροντιστήριον καὶ ἄυπνον κεκτημένος τὸ τῆς μερίμνης κριτήριον, τίς αὐτῷ γένηται τῆς ἐκ Θεοῦ σωτηρίας τῆσδε τῆς πόλεως ἄγγελος· ὅτε δὲ ὅτε, καθά φασιν, οἱ τὰ μεγαλεῖα τοῦ Θεοῦ διακομίσαντες κατ᾽ ἐκείνην τὴν χώραν γεγόνασιν, οὐ πρότερον τί διακομίζοντες ἥκασι πυθέσθαι δεδύνηται, ἕως ὅταν εἰς τὸν ναὸν δραμὼν τῆς παρθένου καὶ Θεομήτορος πρηνὴς εἰς ἔδαφος ἔπεσεν, ἀγαθῶν ὑπάρχειν διακόνους τοὺς παραγενομένους πρὸς αὐτὸν ἐξαιτούμενος· ἡνίκα δὲ τῆς εὐχῆς εὗρε τὴν ἀγγελίαν ἀκόλουθον, ἐπὶ γῆς αὖθις κλίνας τὰ γόνατα ἐπ᾽ ὄψεσι στρατοῦ καὶ τοῦ συνόντος λαοῦ, Θεῷ καὶ τῇ παρθένῳ σὺν δάκρυσι προσεκύνησεν 'εὐχαριστῶ σοι' λέγων 'Θεὲ Λόγε καὶ σῶτερ ἡμέτερε καὶ βασιλεῦ πάσης κτίσεως, ὅση τε ὁρατὴ καὶ ὅση ἀόρατος· καὶ σοὶ

παρθένε καὶ Θεοτόκε καὶ δέσποινα, ὅτι πόλιν, ἥν μοι πιστεῦσαι κατηξιώσατε, καὶ λαούς, ὧν με ποιμένα τετάχατε, μᾶλλον δὲ οὓς σὺν ἐμοὶ ποιμαίνοντες οὐδενὸς ὑστερήσατε, ἀλλ' ἐπὶ ὕδατος ἀναπαύσεως ἐκτρέφετε τοῦ σωτηρίου βαπτίσματος, πάσης ἐπηρείας ἐλευθέρους διεφυλάξατε καὶ τοῖς λύκοις τὴν ποίμνην ἀνεπίβατον τετηρήκατε.' Καὶ ταῦτα μὲν ἔφησαν οἱ τὰς βασιλικὰς ἀποκρίσεις κομίσαντες, ὡς βασιλεὺς ὁ σοφώτατος εἴρηκέ τε καὶ πέπραχεν· καὶ αὐτὰ δὲ δηλοῦσι τοῦ βασιλέως τὰ γράμματα, ἅπερ πρὸς πλείονας γράψαι βασιλικῶς κατηξίωσεν, οἷός τε ἦν ἐκ τῶν προτέρων φροντίδων καὶ οἷος καὶ ὅσος Θεοῦ κελεύσαντος μετὰ ταῦτα γεγένηται.

Ὁ δὲ ἱεράρχης ὁ τίμιος ἑαυτὸν διαπαντὸς προσάγων τῷ Θεῷ ὁλόκαυτον καλλιέρημα τῇ τε νεκρώσει τοῦ σώματος καὶ τῇ ἐνθέῳ ζέσει τοῦ πνεύματος, οὐχ αἵματι ταύρων καὶ τράγων πορίζεται τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν, ἀλλ' ἀναιμάκτους θυσίας σωτηρίου ἐν τῷ πανσέπτῳ ναῷ τῆς θεοτόκου τῷ ἐν Βλαχέρναις ἀναφέρει, διαπαντὸς λιταῖς πανδήμοις τὴν τῶν κακῶν θριαμβεύων ἀπαλλαγήν, ἀπόρθητον αἰτῶν τὴν πόλιν δι' αἰῶνος φυλάττεσθαι. 'Αλλά μοι, Ἡσαΐα σοφώτατε, καθάπερ ἀρχομένῳ τοῦ λόγου τὴν σωτηρίαν προδιετύπωσας τῆσδε τῆς πόλεως, οὕτω καὶ πέρατι σῷ ἐπισφράγισον τὰ λεγόμενα, τήν τε πρὸς τὸν ἔπειτα χρόνον ἀπόλεμον σωτηρίαν τῆς πόλεως εὐαγγέλισαι· εἰπὲ καὶ ταύτῃ τῇ πόλει· 'τάδε λέγει κύριος ὁ Θεὸς ἡμῶν· ὑπερασπιῶ ὑπὲρ ταύτης τῆς πόλεως τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου'. Δαβὶδ γὰρ καὶ ὁ ἡμέτερος βασιλεὺς τῇ τε εὐσεβείᾳ τῇ πρὸς τὸ θεῖον καὶ τῇ πρὸς τοὺς ὑπηκόους πραότητι· ἀλλὰ καὶ νίκαις αὐτὸν καθὰ τὸν Δαβὶδ στεφανώσοι ὁ κύριος, παῖδά τε τὸν σὺν αὐτῷ βασιλεύοντα σοφὸν ἅμα καὶ εἰρηνικὸν κατὰ Σολομῶντα ποιήσειεν, χαριζόμενος αὐτῷ καθὰ καὶ πατρὶ τὸ εὐσεβὲς καὶ ὀρθόδοξον· τοῦτο γὰρ τοῦ Σολομῶντος ἀζήλωτον αἴτει, προφῆτα, Θεὸν καὶ τὴν παρθένον ἱκέτευε, ἣν Θεοτόκον ὡς ἀληθῶς ὑπάρχειν τοῖς τοῦ νοὸς ὀφθαλμοῖς προτεθέασαι καὶ τοῖς προφητικοῖς προεκήρυξας ῥήμασι, σῶσαι δι' αἰῶνος πόλιν τε καὶ λαὸν ἁμαρτάνοντας, Θεῷ δὲ καὶ τῇ παρθένῳ διαπαντὸς καταφεύγοντας, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Contextus rationem apparatus criticus indicabit, ubi codicis Vaticani (E) notitia Maii auctoritate haud ita gravi nititur, libri Parisini (F) habitum quisquiliis breviter perstrictis selecta lectionis varietas exprimit:

Pag. **298.** 1 τῆς om. E || Βαρβάρων] 'Αβάρων τὲ E cf. Stud. p.17 || 2 ταύτης om. E cf. l. 27; p. 299, 2; 300, 13; 313, 22; 316, 40 sq.; 320, 18. 19 cll. p. 300, 34; 316, 36; 317, 10 sq.; 319, 32; 320, 16 sq., ubi eodem sensu ὅδε usurpatur. Adde p. 301, 6 sq. ταύτην — τὴν Ἱερουσαλὴμ || μανιώδους] μανιόδους F || 2 sq. τῆς φιλανθρωπίᾳ] scripsi: τῆς φιλανθρωπίας F, τῇ φιλανθρωπίᾳ E. Sine articulo φιλανθρωπίᾳ habes l. 26, p. 319, 27 || 3 διατῆς F [1]) || ἐκείνων om.

[1]) Qui plurima eiusdem generis exempla offert e. gr. l. 10 sq. μετακυρίας, 27 ὑπερτῆς, 32 διατοῦ, p. 299, 16 προςτὸν, 19 προςτὴν, 23 κατασοῦ, 29 διατῆς, 30 κατασάρκα,

E || 5 τῇ] in F ι ἀνεκφώνητον fere semper deest || 7 Ἡσαΐας] scil. XL 9 sq. || 8 Σιὼν F [1]) || ἰσχύϊ] ἰσχύει E cf. v. l. ad p. 300, 16 || 9 εἶπον] εἰπὸνE || Ἰοῦδα F (sicuti etiam p. 299, 14. 27; 300, 10 et alibi extat) || ἰδοῦ F [2]) || 10 ἡμῶν] ὑμῶν Is. l. c. || ἰδοὺ κύριος] ἰδοὺ κύριος, κύριος Is., ac fortasse nostro loco κύριος (cf. p. 315, 6, 20. 28. 30) excidit cf. p. 299, 14 sq. || αὐτοῦ om. Is. || 11 κυρείας E || εὐθέως F || 11 (ὅρος) — p. 300, 7 (γράφοντος)] διὸ E || 14 κατεκεῖνον (sic) F [3]) || 16 ἀψῖδας] ἀψίδας F || διὰ supplevi || 17 πολύτροπων F || μαιεύσεται] μαιεύσηται F || 18 προφητικὸς] προφητικῶς F, quae scriptura vocabulo καὶ extruso ferri potest || 20 τὰ inc. f. 33r F || 21 δεῦρο μοι F (cuius generis lectiones saepenumero codex praebet) || 23 Σεραφεὶμ] malim Σεραφὶμ propter Χερουβὶμ q. 307, 23 cf. 'Appendix Christophorea' p 12 (sive 'Eos' vol. VI — 1900 — p. 62). || 23 sq. ἐπείπερ—ἤρθη σοι] cf. Is. VI 1. 2. 4 || 24 αὐτὰ] αὐτὰς F || 26 τῆς] τὴν F || ἴλημ F (quae compendii ratio fere sollemnis est) || 28 σκιογραφούμενόν] intactum reliqui cf. προσκιογραφῶν p. 299, 12 et Lobeckius ad Phrynich. p. 646 || 29 Ἄχαζ F, sed ζ in rasura exaratum est || 30 διάδογος F, attamen primitus alia littera pro α scripta erat || 31 ἦν] ἢν F || οὐδετὸ F (qui gemellas vel similes lectiones saepius suppeditat) || 32 προφήτου] cf. Is. VII 10 καὶ προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος || 34 sq. καὶ τὸ μὲν — πεφύλακται] cf. Is. VII 13 sq. καὶ εἶπεν· ἀκούσατε δὴ οἶκος Δαυίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρ-

---

31 προςτὴν, 32 διατοῦ, 34 καταριστὸν, 37 προςτὸ, 39 ἀποσκοποῦ, p. 300, 4 διατῆς, 13 ἐναυτῇ, 15 παραπάση, 21 ὑποριωμαίους, 26 συντοῖς, 38 ἐπισυχνὰς, p. 301, 3 ἐπιτῆς, 15 κατασάρκα, 16 ἐνὴ (pro ἐν ᾗ) etc. Contrario modo habes l. 13 πρὸς ὕλων et πρὸς ἰδεῖν, p. 299, 1 πρὸς ἀνατιθέμενος, p. 300, 9 πρὸς οἴκων, 35 ἀκατὰ σχέτω, p. 301, 23 εἰς ἐποιήσαντό (ubi prior accentus rasura sublatus est cf. ηὔξηθησάν p. 301, 23) κτλ. Utraque ratio comparet p. 301, 7 προςτὸ σαύτην.

[1]) Cf. ἅμα et ἐπεῖ l. 15, θαῦματι et τῆν 16, τὸ 25, ταῦτης 27, εἰκῶν 28, ἅμα 34, εἰκῶν 36 et 38, προφητικῆ 38, ἅμα p. 299, 3, λοιπᾶ 5, διαφορᾶ 6 sq., συνθῆκας et τῆν 8, ψυχῆ 16, καταληφθεῖς 19, ὀργῆ 22, ιουδαίαν 24, ταῦτης p. 300, 13, μεμηνῶς 17, βασιλεῦς 20 et 24, ἅμα 33, δειχθεῖς p. 301, 1, τῆν 5, ταῦτην 6, ἐλεῦσομαι 9, δεῦτερον 13, ταῦτην 14, εἶθε 15 (scil. haud raro spiritus neglectus est), χῶρα 16, βασιλεῦσασιν 17, τροφᾶς 18, ἐκεῖνου 21, βασιλεῦς 27 κτλ., et contraria ratione ἀνωφερὴ l. 12, προφήται 15, μονογενοὺς 22, κωλύον 24, θείον 31, σημείον 34 et 37, τούτο p. 299, 1, προφήτα 6, πολεμήσαι 15, οἶκον 16, ἀπὴν p. 300, 21, ζὴν 23, ἀπὴν 25, τούτον καλούσιν 28, θεία 34, κτήμα 35, ὀργὴ 36, δοχείον p. 301, 1, χείρας 5, παλαμναίον 8, πρώτον (altero loco) et τελευταίον 9, τούτον 15, γὴν 24, κακούργος 25 etc.

[2]) Eadem varietas l. 8 recurrit cf. insuper ὅρος 11, ἠξιώθησαν 14, ἠξιωμένος 19, Ὀζίου 30, οὗ 37 etc. Spiritus lenis pro aspero extat l. 19 ἅτε, 29 ὃ (ante βασιλεὺς), p. 299, 19 ὀδοῦ, 26 ἱστορικῶς, 31 ὀδοῦ, 38 ὀδὸν, p. 300, 1 οἱ κτλ.

[3]) Similiter legimus μεταισχύνης l. 3, διεκείνης 28, ἐφοὺς p. 299, 28, διαυτοῦ 30, διῆς 33, καθηλικίαν p. 301, 21, κατολίγον 22 κτλ.

ἔχειν ἀνθρώποις, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν || 36 βοῶντος μέχρι] μέχρι βοῶντος F || 36 sq. οὐ — κύριον] cf. Is. VII 12 καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω οὐδὲ μὴ πειράσω κύριον || p. **299**, 1 πῶς inc. f. 33[v] F || 2 οὐκέμελλε F (neque aliter 40 οὐκεύστοχον, p. 303, 24 οὐκέστι etc.) || 8 Σαμάρεια] Σαμαρία F, quemadmodum etiam p. 300, 8 legitur; at cf. l. 15; p. 300, 9 || 9 ἐξῶσαι] ἐξῶσε F || Ταβεήλ] ταβήλ F cf. ad l. 25 || 11 γέμοντας librarius primitus dederat || 12 ὁρῷτο] ὁρῶ τὸ F || ἐπόψεσι] l. ἐπ' ὄψεσι cf. v. l. (ex F) ad p. 308, 23; 319, 13. 38 || 13 ἐγένετο — 26 ἔσται] = Is. VII 1—7 || 13 ἐγένετο καὶ ἐγένετο Is. || υἱοῦ] τοῦ Is. || ιωαθὰμ F || υἱοῦ] τοῦ υἱοῦ Is. || 14 Ῥασὶν] Ῥαασσῶν F cf. p. 300, 8; 307, 29 (cum nota); 313, 29. Duplex σ in F, simplex in E occurrit. || 14 sq. Ἀρὰμ — βασιλεὺς ex Is. supplevi cf. ad p. 298, 10 || 15 Σαμαρείας] Ἰσραὴλ Is. cf. tamen VII 9 καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου || ἀνηγγέλη] ἀνηγγέλλη F || 16 Δαβὶδ] Δαυὶδ Is. (in F nomen illud compendio δαδ exprimi solet, sine compendio semper Δαβὶδ legitur cf. p. 298, 29. 34) || λέγων] λέγοντες F || 18 εἶπεν] εἶπε Is. || 19 τοῦ om. Is. || 20 γναφέως] κναφέως Is.; cf. l. 32 et 36 || μὴφοβοῦ F || 20 sq. μηδεὴ F cf. ad p. 298, 31 || 21 ἀσθενείτω] ἀσθενήτω F || 22 ἡ om. Is. || 23 κατὰ σοῦ λέγοντες om. Is. || 24 εἰς inc. f. 34[r] F || ἀναστρέψομεν] scripsi: ἀναστρέψωμεν F, ἀποστρέψομεν Is. || 25 Ταβήλ F cf. l. 9 || καὶ οὐ μὴ ἐμμείνῃ] τάδε λέγει κύριος Σαβαώθ· οὐ μὴ μείνῃ Is. || 27 τοῖς μεν F (ac similiter ὁ μεν p. 300, 27, τὴν μεν p. 301, 5 etc. cl. ἐν δε p. 300, 9, τῇ δε 10, ὁ δε 37, τὴν δε p. 301, 6 etc.) || 31 ἀπειθεῖ] ἀπηθεῖ F || λαῶν F a m. pr. || κολυμβήθρα F || 36 κναφεὺς] malim: γναφεὺς cf. l. 20 et 32 || 37 δι' ὧν] διὸν F || 38 πορείας] πορίας F || 39 ἐπανακταίον F || 40 τίς F || p. **300**, 4 post ὑμῖν lacunam indicavi; excidisse videtur: ἃ διαπέπρακται cf. Menander fr. 393 (vol. III p. 112 Kock) v. 2 sq. οὐκ οἶδ' ὅ τι | οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος || μεγαλεῖα] μεγαλία F || 6 (ὑπερ)βέβηκεν inc. f. 34[v] F || συμμετρούμενου F a m. pr. || 8 ἐπεστράτευσαι F || Σαμάρεια] Σαμαρία cf. ad p. 299, 8 || Ῥασὶν] Ῥαασσῶν F, Ῥαασῶν E cf. ad p. 299, 14 || 11 ἐξέστη] ἐξέπτη E; cf. p. 299, 16 || 12 ξύλον] ξύλῳ E; cf. p. 299, 17 || 13 ἀκούσατε] typothetae errore pro ἠκούσατε inrepsit || 13 sq. συνευσεβῆ γονῆ F || 14 Ἀσύριοι F || κατ'] κατὰ E || 15 ταχινὸν] ταχεινὸν F || 16 ἰσχύϊ] ἰσχύει E cf. ad p. 298, 8 || καὶ κύων κτλ. a praecedentibus male seiunxit Maius || 17 ὅσα τὲ FE (quam scribendi rationem in F saepius obviam esse obiter noto) || 19 παρεικάζετο] ἀπεικάζετο E, at cf. p. 314, 7 [1]) || ὁ om. E cf. l. 24; p. 303, 5;

[1]) Primo adspectu Pisidae versus Av. 173 sq. ὡς ἄμετρα κύματα | τὴν ψάμμον ἐκπτύσασα τὴν τῶν βαρβάρων respici videntur, praesertim cum etiam imago de apibus Av. 63 sq. recurrat; ἐντεῦθεν ἡμᾶς, ὡς μέλισσαι, βάρβαροι | κύκλῳ περισφίγξαντες. Verum enim

312, 10 || 21 ἐπολέμει] ἐπολέμη F || 22 χίμαιραν] χείμεραν F || ἀλλὰ πολυκέφαλον om. F || Ναβουχοδονόσωρ FE, quae nominis forma auctoritate non caret cf. p. 309, 16 et 313, 20 || 23 τὸν νῦν] τύνυν (= τοίνυν cf. p. 303, 13) F || 26 λιπὼν] λειπῶν (λειπὸν m. pr.) F || 27 Πέρσης] Πέρσις F || Σαρβάραζ E, ubi eadem accentus ratio recurrit p. 306, 39; 307, 5; 308, 18. Extremo loco etiam F paroxytonon offert. De aliis formis cf. Stud. p. 17 || 28 Ὀλοφέρνην F || καλοῦσιν inc. f. 35r F || 29 ἅρμασι E || περιεκάθητο] scripsi: περιεκάθετο FE || 31 Ἰορδάννην F a m. pr. || 32 ἐπέσχε] ἐπαίσχε F || 34 κατὰ τῆςδε] καταυτῆς δὲ F cf. ad p. 298, 2 || 36 ζεούσῃ] ζεούσι F || ἐμπιπρᾶν] ἐμπιμπρὰν F cf. l. 34 ἐμπιπρῶν cum Lobeckii nota ad Phrynich. p. 95 sq. cl. Paralip. p. 11 || 37 μυσαρώτατον] βαρβαρώτατον E || Χάγανον E || ἐπιχωρίως] ἐπιχωρίος F || 37 sq. ὀνομάζουσιν E || 38 τείχεσιν] τοίχεσιν E || p. **301**, 1 ὥςπερ F (sicuti etiam l. 16 legitur) || 3 ἡ om. E || καταλελιμμένα F; de imagine cf. Is. X 14 καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ || 8 τὸ inc. f. 35v F || 14 ἡ F || 15 μὴ F || 16 λύμη] λοίμη F || 17 ἐπισκήψας] ἐπισκήψαν (sic) E || ἔμπροσθεν] ἔμπροσθε E || προςέθετο F || 18 ἠμφίασαν] ἠμφίεσαν E cf. p. 313, 26 || 21 τούτου δὲ] τοῦδε E || κυνὸς] κοινὸς || 23 ἐδουλώσαντο] ἐδουλεύσαντο E || σμικρὸν] μικρὸν E || 25 ὤφελόν γε] ὠφελόνται (= ὤφελόν τε) F || 28 ἔοικεν] ἔοικε F || 30 προαίρεσιν inc. f. 36r F || τολμηθεῖσαν] τολμηθῆσαν F || 32 δεξιωσόμενος] δεξιωσάμενος E || 35 ὄφεως] ὄφεος F || 38 ταύτην] ταύτῃ E || 40 εἴληφεν ὅλως] εἴληφε ὅλως F, εἴληφε δὲ ὅμως E || p. **302**, 1 ἐνέπλησαν] malim: ἐνέπλησαν ἂν || 2 μετέβαλον] μετέβαλαν F || 3 ἀπιστίας] ἀπιστείας F, ἀδικίας καὶ ἀπληστίας E, unde genuinam memoriam ἀπληστίας fuisse suspiceris cf. p. 301, 13 et 317, 28 || 6 οὐδὲ] οὐδ' E || τοσούτων] τὸ σούτον F || 9 τῶν (altero loco)] τὸν F || 10 ἐξόρμησεν F || 11 κατέλιπεν inc. f. 36v F || 13 ἐξεστράτευσε] ἐξεστράτευσαι F || δὲ] δὴ E cf. Stud. p. 5 n. 3 || 16 φρόνιμος] φρόνημος F || εὐσταθεία E et (a m.

vero potius Sanctae Scripturae loci ab ipso Pisida expressi in censum veniunt cf. a) Genes. XXII 17, XXXII 12, XLI 49, Jos. XI 4, Iudic. VII 12, Reg. I 13, 5, II 17, 11, III 4, 29, Psalm. LXXVII 27, CXXXVIII 18, Hos. I 10, Isai. X 22 (- Paul. Epist. ad Rom. IX 27, ubi ex probis utriusque linguae scriptoribus plurima exempla congessit Wetstenius vol. II 1 p. 68 sq. cf. insuper Otto, d. Sprichwörter u. sprichwörtlichen Redensarten d. Römer s. v. harena n. 1 p. 159), XLVIII 19, Jerem. XV 8, Daniel. Cant. tr. puer. 12, Maccab. I 11, 1, — Paul. Epist. ad Hebr. XI 12, Apocal. XX 8; — b) Psalm. CXVII 12 ἐκύκλωσάν με ὡςεὶ μέλισσαι κηρίον. — Nec facile eo inducor, ut p. 301, 24 sq. ex Av. 113 sq. ἐπεὶ δὲ λοιπὸν ὡς ἀλώπηξ τοὺς δόλους | ὑπῆλθεν ἐνδὺς τὴν κακὴν ἀπιστίαν fluxisse putem, cum vulpis astuta calliditas in proverbium abierit; quamquam p. 301, 26—40 et Av. 94—124 aperte concinunt. — Ceterum Av. 173 sq. ante oculos manifesto habuit Constantinus Manasses Chron. 3746 sq. καὶ φάλαγγες ἰσόψαμμοι θηριωδῶν Ἀβάρων | ὡς χείμαρροι βαρύδουποι σὺν ψόφοις συρραγεῖσαι.

pr.) F || 17 Δαβὶδ] Δαυὶδ E (quam lectionis varietatem in sequentibus reticere iuvat cf. ad p. 299, 16). De re cf. Psalm. CXI 5 χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει || Σολομῶντι] Σαλομῶντι E; respicitur Sap. Salom. VI 26 καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου || γράμμασιν] γράμμασι E || 23 ἔθνεσιν] ἔθνεσι E || τὴν om. E || 24 τετείχηκε] τετείχηκεν E; equidem τετείχικε rescripserim || 25 δοριάλωτον] δορυάλωτον E cf. p. 309, 17 et Lobeckius ad Sophocl. Ai. 211 p. 132 sq. (ed. 3) || 27 ὧν] ὃν F || 28 πιστώτατος F || 29 Βόνος] scripsi: μόνος F, Βῶνος E cf. Stud. p. 62 sq. Forma Βῶνος comparet praeterea in Sathae Synopsi p. 108, 7. 26, Βόνος praebet opusculum quod homiliam nostram excipit p. 334 infra || 30 ἐποιεῖτο] ποιεῖτο FE || 32 γνῶστα] γῶστα E (sed typothetae lapsum adgnoscendum esse Latina vocis interpretatio 'cognoscens' docet) || σοὶ] σὺ F || τέκνα inc. f. 37ʳ F || 34 τῷ] τὸ F cf. Stud. p. 197 n. 1 || 35 οὕτως] ὄντως F || 36 δεδύνημαι] δύναμαι F || ἄπληστον] ἄπλειστον F || 39 δέδωκας] δέδοκας F || παρακαταθήκην] παρὰ καταθηκῶν F; de re cf. Levit. VI 2 sqq. et inprimis Maccab. II 3, 15 ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παραθήκης νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῶα διαφυλάξαι || p. **303**, 3 κράτους] κράτου F || 5 Θεῷ] τῷ Θεῷ E || 7 μεταιχμίῳ] μετεχμίω F || 9 voci ἱκετηρία Maius falso 'precum' notionem subiecit: in censum veniunt v e l a m e n t a manu praetenta supplice, quae quidem apud Sophoclem κλάδοι ἱκτήριοι (O. R. 3) sive ἱκτῆρες (ibid. 143) adpellantur || εὐώδους (sic)] εὐόδους F || 10 δέσποινα] δέσποτα E perperam || παντοδύναμε] παντοδύναμαι F || 12 αὐτοῦ] αὐτὸς? || ἐξώρμησε] ἐξόρμησε F || 13 διασπώντων] διασπόντων F. Sententiae color ductus est ex Evang. Joann. X 11 sq. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Hinc etiam Pisides P III 322 sqq. profecisse censendus est || τοίνυν] τύνυν F || 14 πρὸς ἑρπύζοντος inc. f. 37ᵛ F, προσερπίζοντος E || 15 δεήσεσιν F, quod relinquendum erat || στρατολογεῖν] στρατηγεῖν E || 17 θυρεὸς] θυραιὸς F || 19 μονάδι] μοναδικῷ E (quae vox usitatior est) || 22 καὶ προσπέσωμεν om. E || μονογενεῖ] μονογενὴ F || 24 ἔστι] ἔστιν E || 26 φυλάττῃ] φυλάττει E || 30 πλήρει] πλήρῃ F || ψυχῇ θελούσῃ F (sed librarius θέλουσα adponere voluerat, siquidem syllaba θε primitus accentu notata erat) || 31 ῥήμασι] ῥήμασιν E || 33 κατέλιπεν] κατέλιπε E || 36 ὁ om. E || 37 καταφεύγοντας inc. f. 38ʳ F || πεποίθησιν] πεποίθεσιν E falso cf. Wetstenius ad Pauli Epist. II Corinth. I 15 et Lobeckius ad Phrynich. p. 295 | 38 Ἰησοῦ] ἡιησοῦ F || τῷ Ναυῇ] τοῦ Ναυὴ E, sed Ἰησοῦ dativus est || Γαὶ] γῆς perperam E cf. Jos. VIII 1 sq. καὶ εἶπε κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς μηδὲ δειλιάσῃς· λάβε

μετὰ σοῦ πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς καὶ ἀναστὰς ἀνάβηθι εἰς Γαί· ἰδοὺ δέδωκα εἰς τὰς χεῖράς σου τὸν βασιλέα Γαὶ καὶ τὴν γῆν αὐτοῦ· καὶ ποιήσεις τὴν Γαί, ὃν τρόπον ἐποίησας τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς· καὶ τὴν προνομὴν τῶν κτηνῶν προνομεύσεις σεαυτῷ· κατάστησον δὲ σεαυτῷ ἔνεδρα τῇ πόλει κτλ. || 39 Μαδιηναίων] Μαδιηνέων F, Μαδηϊναίων E; de re cf. Iudic. VII (inprimis § 25) || λαμπάσιν] λαμπάσι F || ἐξώπλισε] ἐξόπλισε F, ἐξώπλισεν E || 40 τείχη] τείχει F || p. **304**, 1 ὠχυροῦ F || πολεμικὴν] τὴν πολεμικὴν E || 2 ἐν γράμμασι] ἐγράμμασι F || 3 ἀπὼν] αὐτῶν E, ubi δι' αὐτῶν Maius ex coniectura perperam temptabat cf. Av. 246 sq. οὐ μὴν παρεῖδεν ἡ τομωτάτη φύσις | ἀπὼν παρεῖναι τοῖς πόνοις ὁ δεσπότης cl. 290 ἐζωγράφει δὲ μὴ παρὼν τὰ τῆς μάχης, quibuscum etiam p. 302, 28 apte conferas || ὁ βασιλεὺς] βασιλεὺς E || 6 γέν^υημα F || 7 τύπους] τόπους F || ἐνέγραψε E || 9 δαίμοσι E || 10 δαιμόνια] δαιμόνων E, at cf. l. 13 || 12 πανστρατιᾷ] πανστρατὶ E cf. l. 32 || 14 ἔλεγεν] ἔλεγε E || 15 ᾗ] ἢ F || 18 Σκύλλαν] σκύλα F || 19 δὲ inc. f. 38ᵛ F || Χάρυβδιν] Χάρυβδην F || κατὰ ἕνα] κακὰ τὰ ἐνάλια E. — Substantivi χρόνον ellipsis statuenda est (cf Bos-Schaefer, Ellips. Gr. p. 341 sqq.), quamquam κατὰ ἓν auctorem scripsisse puto cf. Thucyd. III 10, 15, Xenophon Hellen. III 4, 27, Plato Leg. V p. 739 D, nisi potius vocis καιρὸν defectum statuere malis cll. p. 308, 7 et 311, 1; sententiam vero optime inlustrat Pisides, quem noster voce ποιητικὸς ἀνὴρ aperte significat Av. 200 sqq. καὶ χωρὶς ὄντες καὶ μακρὰν συνημμένοι | μίαν καθ' ἡμῶν πίστιν ἠκριβωμένην. | Ἔνθεν μὲν οὖν ἔβραζεν ἡ Σκυθοτρόφος[1]) | Σκύλλα σφοδρῶς ζέσασα, τῆς δὲ Περσίδος | ἐκεῖθεν ἡ Χάρυβδις ἀντήχει μέγα[2]) || 21 σιγήσις F || 22 ἐξολοθρεύσομεν E || 25 Ἀμαλὴκ] Ἀμαλὲκ E || Ἀσσοὺρ] Ἀσοὺρ FE || παρεγένετο] παρεγένοτο (scil. pro παρεγένοντο cf. v. l. ad 304, 2. 29; 311, 17) F || 21—27 σῶσον-αὐτῆς ex Psalm. LXXXII fluxerunt: ὁ Θεός τις ὁμοιωθήσεταί σοι; μὴ σιγήσῃς

[1]) Σκυθότροφος et hic et H II 73 falso contra codicum auctoritatem edidit Bekker.

[2]) Eandem comparationem Manasses 3754 sq adhibet: ἐκεῖθεν ἦχει φοβερὸν ἡ Σκυθοτρόφος Σκύλλα, | ἐντεῦθεν τῆς Χαρύβδεως ἠνοίγετο τὸ στόμα. Cui Pisidae versus obversatos esse vel nota ad p. 322 probat cf. insuper Manass. 3756 sq. καὶ μέσον ἐχειμάζετο τῆς πόλεως τὸ σκάφος | καὶ πανταχόθεν κίνδυνος καὶ πανταχόθεν σάλος et Av. 180 sq. καὶ πανταχοῦ κίνδυνος ἦν ἠρτυμένος (Stud. p. 233)· | πᾶν γὰρ τὸ κύκλον (l. κύκλῳ cum Bekkero) τοῦ σκάφους ἐβάπτετο. Adde Man. 3764 καὶ πλῆθος ἀπειράριθμον τοῖς σκάφεσιν ἐνθέντες et Av. 409 sq. Σκλάβων (Stud. p. 32 n. 5) τε πλήθη Βουλγάροις μεμιγμένα | ὁ βάρβαρος νοῦς ἐμβαλὼν ταῖς ὁλκάσι. — Nec tamen locustarum imago 3761 ἀκρίδα μυριόπτερον εἴποι τις ἂν εὐστόχως, 3771 ἀκρὶς ὁ Ταυροσκύθης δὲ πεζόπτερος πτηνόπους, 3784 ὡς σελευκίδες ὤφθησαν ταῖς πτερωταῖς ἀκρίσιν ex Av. 429 οἱ δ' αὖ γε λοιποὶ πάντες ἀκρίδων δίκην repetenda est, quippe quae ex Sancta Scriptura fluxerit, ubi ἀκρὶς saepius exercitus hostilis multitudinem denotat cf. Iudic. VI 5, VII 12, Judith. II 20, Jerem. XLVI 22 cll. Exod. X 4, Num. XIII 34 et Wetstenio ad Apocal. IX 3 (vol. II 2 p. 782).

μηδὲ καταπραΰνῃς ὁ Θεός· ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου· εἶπαν· δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι· ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό, κατὰ σοῦ διαθήκην διέθεντο τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ οἱ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλὴκ καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον· καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. — Διάψαλμα. Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σεισάρα, ὡς τῷ Ἰαβεὶν ἐν τῷ χειμάρρῳ Κεισῶν· ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ· θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμανά, πάντας τοὺς ἄρχοντας αὐτῶν· οἵτινες εἶπαν· κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ Θεοῦ· ὁ Θεός μου θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου· ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν, ὡσεὶ φλὸξ κατακαύσαι ὄρη κτλ. || 29 ἐν νυξὶ] ἐνυξὶ F || 30 πρωτουργῷ] παντουργῷ E || 31 πυρπολεῖν] πυρπολὶν F || βάρβαρος F, sed prius β in ras. legitur || 32 προσκαθήμενος] προκαθήμενος E || 33 sq. ἀντεπιδείκνυσθαι] ἀντὲπεδείκνυσθαι (sic) F || 34 ἐνεπύρισαν] ἀνεπύρισαν E || 36 ἔταττεν] ἔταττε E || 38 ὑπήρειδον] de re cf. Exod. XVII 8—12, Christi typum inlustrat Quercius ad P III 416 [1]) || p. **305**, 1 sq. τοῦτον inc. f. 39ʳ

---

[1]) Hic quidem cum Mose Heraclius in contentionis iudicium venit, quemadmodum etiam P I 135 sq. εὐθὺς μετ' αὐτὴν εἰκονίζων Μωσέα | καταστρατηγεῖς τοῦ Φαραὼ τοῦ δευτέρου Heraclius cum Chosroa debellans intelligitur, sed eadem ratione Sergium designat An. p. 1680 A ὁ τοίνυν Μωσῆς ὁ ἡμέτερος, ὁ θαλάσσῃ καλύψας Φαραὼ τὸν νεώτερον καὶ τῇ ἐκτάσει τῶν χειρῶν τοὺς ἀλλοφύλους τρεψάμενος, ὁ μετὰ τὸν νομοθέτην νομοθέτης τῶν Ἐκκλησιῶν καὶ διδάσκαλος, ubi de Heraclio cogitabat Quercius commenticia codicis Laurentiani memoria deceptus, siquidem illic manus recentissima minus distinctae librarii scripturae verba ὁ μετὰ τὸν νομοθέτην substituit ac praeterea in νομοθέτης et διδάσκαλος ex libidine litteras finales ex ν effecit, genuinam vero lectionem Σέργιον φημὶ τὸν νομοθέτην τῶν Ἐκκλησιῶν καὶ διδάσκαλον servavit Esc., quod imprimis propter Usenerum (Acta martyris Anastasii Persae p. V) moneo. Similiter de patriarcha Pisides Hex. 1874 loquitur: βοᾷ δὲ σιγῶν ὡς ὁ Μωσέως φάρυγξ, quocum loco prorsus consentit homiliae sententia p. 305, 6 σιωπώσῃ δὲ τῇ φωνῇ καθὰ Μωσῆς ὁ πρῶτος ἐβόα cf. insuper p. 305, 1 et 15. Magis etiam ad rem nostram facit Av. 493 sqq. καὶ νῦν Ἐρυθρὰ κυρίως ἀκούεται | καλῶς βαφεῖσα τῇ βαφῇ τῶν βαρβάρων· | ἔδει γάρ, οἶμαι, τὸν Φαραὼ τὸν δεύτερον | βλέπουσαν αὐτὴν καὶ νέον σε Μωσέα | τὰς τῆς Ἐρυθρᾶς εἰκονίζειν ἐμφάσεις, quandoquidem plane eadem narratio p. 308, 13 sqq. recurrit: ἔνθα ἔδει καταποντισθῆναι καὶ τοῦ Φαραὼ τούτου πᾶσαν τὴν δύναμιν, ὥστε τὸν κόλπον Ἐρυθρὰν ἐκ τοῦ πράγματος λέγεσθαι θάλασσαν et p. 318, 7 sq. (ὀνομαζέσθω τοίνυν) θάλασσα Ἐρυθρὰ σὺν ἅρμασι Φαραὼ τὴν δύναμιν αὐτοῦ πᾶσαν καταποντίσασα cl. p. 311, 28 sq. — Pisidam videtur etiam Manasses imitando expressisse 3779 sqq. ἔδυσαν ὡς ἡ μόλιβδος εἰς ἅλμην θαλαττίαν | οἱ κούφως ἐπιπλέοντες ὑγροκελεύθους πόρους, | ὡς πρὶν σοβαροπρόσωποι τοῦ Φαραὼ τριστάται, etsi fontem primarium simul consectatus est cf. Exod. XV 10 ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ.

F || 2 τὸν om. E || 3 κόσμῳ] κόσμον F; cf. Paulus Epist. ad Galat. VI 14 ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ || 6 Μωσῆς] cf. Num. X 33 sq. καὶ ἡ κιβωτὸς τῆς διαθήκης κυρίου προεπορεύετο προτέρα αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν· καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν καὶ εἶπε Μωυσῆς· ἐξεγέρθητι — μισοῦντές σε || 7 καὶ om. LXX || 9 προςετίθη] προςετίθει E, quae forma vulgatior est || 9 Δαβὶδ] scil. Psalm. LXVII 3 sqq. (ubi § 2 legitur: ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προςώπου αὐτοῦ) || ἐκλιπέτωσαν] ἐκλειπέτωσαν E || 10 ἀπόλοιντο] ἀπόλλοιντο F || ἔθνη ἀλλόφυλα] οἱ ἁμαρτωλοὶ LXX; ceterum ante ἔθνη articulum τὰ excidisse suspicor || 11 ἡμῶν om. LXX || 11 sq. τοῦ ἐπιβεβηκότος — συγκατάβασιν] aliter LXX (§ 4 sq.) καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν· ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ· ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν· κύριος ὄνομα αὐτῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ, — verba διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν inlustrat Suicer Thes. Eccles. vol. II p. 1067 sqq. || 15 ἀντ' ὄρους] cf. Exod. XXIV 13 sqq. 18 καθὰ] καθὰ δὲ F; de re cf. Iudic. VI 11 sqq. || ὀλίγοις om. E || 22 ἐξίστησιν] ἐξέστη E || τὴν om. E || 34 καὶ inc. f. 39ᵛ F || 28 ἀνεχώρησε E || ἡτοίμαζε E || 30 ἀπέσχετο] ἀπείχετο E || 33 οὕτω] οὕτω με E || ὁ Θεὸς] Θεὸς E || 34 τοῦ] τοὺς E || ἔμεινε E || 35 τὸ om. E || λυττῶν] λύττων F || ἀναιδοῦς] ἀναιδῶς E, at cf. l. 30 κύων ἀναιδής, tum p. 313, 5 ὁ κύων ὁ ἀναιδὴς et 317, 23 ὁ κύων ὁ ἀναιδέστατος. Chagani comparatio cum cane redit p. 300, 16; 301, 21. 28; 302, 3; 305, 32; 308, 1. 29; 310, 40; 316, 34. De Pisidae usu cf. Stud. p. 35 || 38 αὐτοβοεὶ] αὐτοβοῆ F || 40 συχνὸν] συχνῶν F || p. **306**, 1 λοχήσασα] λοχίσασα F, quod bene admitti poterat || 2 πεποίηκεν E || 3 κατήγαγε E || τοῦ om. E || 4 καὶ (ante ἔκρυψε)] κἂν E || 6 πιστεύσασι F || 7 γὰρ inc. f. 40ʳ F || 8 ἀφέσεις] ἀφέσις F || 9 παρῆν ἡ] παρῆνη ἡ (sic) F || 9 ἀνανταγώνιστον] ἀκαταγώνιστον E || 13 τὴν ante τετάρτην excidit operarum vitio || 15 αὐτῷ ἡ] αὐτῶν ἢ (sic) E || γινομένη] γενομένη E || 16 τῷ] τὸ F || 18 ἀλλὰ] ἀλλ' ὁ E || 19 τῷ om. E || 23 Σομνὰν] Σωμνὰν F recte || Ἰωὰχ] ιωχχὰμ F cf. IV Reg. XVIII 17 sq. καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων... τὸν Ῥαψάκην ἐκ Λαχὶς πρὸς τὸν βασιλέα Ἐζεκίαν ἐν δυνάμει βαρείᾳ ἐπὶ Ἱερουσαλήμ·... καὶ ἐβόησαν πρὸς Ἐζεκίαν· καὶ ἦλθον πρὸς αὐτὸν Ἐλιακὶμ υἱός Χελκίου ὁ οἰκονόμος καὶ Σωμνὰς ὁ γραμματεὺς καὶ Ἰωὰς] (sic) ὁ υἱός Σαφὰτ ὁ ἀναμιμνήσκων || 27 ἠβούλοντο] ἐβούλοντο E || Πρωτέα] πρωταῖα F || 28 ἐν ἀνθρωπείῳ] ἐνανθρωπίω F || 29 εἴδει] ἤδη F || 31 Σαλμωνεὺς] Σαλμονεὺς F || ἄλλως F a m. pr. || βύρσης] βύσσης F || 32 ἀνάγκη] ἀνάγκῃ E (sive potius Maius, qui prave vertit: nihil deinde

sperans aut reputans, **nisi quod a necessitate prorsus dependet.** Ut breviter dictorum eius capita referamus etc.) || 33 κεφάλαια] κεφάλεα F || p. **307,** 1 δέ τι] δ' ἔτι E || αἰτήσητε] ἐλπίσητε E || 2 εἶπε E || προςηπείλησε E || προσέθηκεν] προςτέθεικε E || 3 ὀψόμεθα] ὀψώμεθα F || 4 παρὰ τοῦ] παρ' αὐτοῦ E || 6 τὰ om. E || 8 τῶν πρέσβεων ῥήματα, στρατὸν δὲ παρὰ om. Maii editio, nec tamen E, sicut editoris versio (haec legatorum verba fuerunt. Porro exercitum a Persis exposcebat) probat || 10 σύμφωνον F, sed o ex ω factum est || 11 νυκτὸς inc. f. 41r F || 12 ἐξέπλευσε] ἐξέπλευσαι F || 14 καὶ (ante αὐτοὶ)] om. E || ὑπερηφάνοις] ὑπε^ρι^φάνοις F (superscr. m. rec.) || 19 ἀνείκαστον] ἀνήκαστον F || δεσποτείαν] δεσποτίαν F || σου] σοι E || 20 Σενναχειρεὶμ] Σεναχειρὴμ E; de sententia cf. Ezechiae verba IV Reg. XIX 15 sq. κύριε ὁ Θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, σὺ εἶ ὁ Θεὸς μόνος ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς, σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν· κλῖνον κύριε τὸ οὖς σου καὶ ἄκουσον, ἄνοιξον κύριε τοὺς ὀφθαλμούς σου καὶ ἴδε καὶ ἄκουσον τοὺς λόγους Σενναχηρὶμ (quae forma saepius occurrit, οὓς ἀπέστειλεν ὀνειδίζειν Θεὸν || 21 ἔχομεν] ἔχωμεν F || 22 σὺ] σοὶ F || 23 παντοκράτορ] παντοκράτωρ F || 25 οὐκ ἀδυνατεῖ σοι] οὐκαδυνατῆσοι E, unde οὐκ ἀδυνατῆσοι elicere noli cf. Job. XLII 2 ἀδυνατεῖ δέ σοι οὐδέν; at enim auctor manifesto οὐκ ἀδυνατεῖ <παρὰ> σοὶ scripsisse putandus est cf. Chron. II 14, 11 καὶ εἶπε (scil. Asa cf. l. 32 sqq.)· κύριε, οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς καὶ ἐν ὀλίγοις.... κύριε ὁ Θεὸς ἡμῶν μὴ κατισχυσάτω πρὸς σὲ ἄνθρωπος || 26 πάρεστί E || θέλῃς] scripsi: θέλεις F, ἐθέλῃς E || 28 οὖσι E || 29 καθομολόγησαν F cf. p. 313, 33 || Ῥασὶν] Ῥαασσὼν F, Ῥαασῶν E. In verborum contextu perperam codicis F lectio remansit cf. ad p. 299, 14 || 31 συλληφθήτωσαν — 32 ἐμπυρίζεται ex Psalm. IX 23 fluxerunt: ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται || 32 ἐπάταξε inc. f. 41v F || 34 Ἀσὰ] Ἀσᾶ E; de re cf. Chron. II 14 (cl. l. 25 sqq.) || 35 ἀμέτρητον] ἀμέτριτον F || Ἰωσαφὰτ] cf. Chron. II 20, 6 sqq. || 36 μόνῳ θελήματι] μονοθελήματι F cf. p. 311, 28; 312, 20; 314, 4 cl. 304, 11 || 37 κληρονομίας] κληρονομία F || εἴπωσιν E || 39 ὁ στρατηγὸς om. Maius, qui in translatione Latina vocem (praefectus) adgnoscit || p. **308,** 3 ὀγδόῃ] τῇ ὀγδόῃ E || 4 σπουδαζόμενον] τὸ σπουδαζόμενον E || 5 τῆς om. E || 6 ἐξαρτῦσαι] ἐξαρτῆσαι F cf. p. 304, 1. 10; 308, 16 cl. Stud. p. 233 || 7 μίαν om. E || 15 λέγεσθαι inc. f. 42 F || 16 λαβὼν] λαβὸν F || θωρακηφόροις] θωρακηφόρον cf. p. 315, 8 ἱππεῖς ἐνδεδυμένους θώρακας et 317, 35 ἱππεῖς ἐνδεδυμένοι τοὺς θώρακας E || ἄντικρος] ἀντικρὺ E || 19 sq. παραθαλάσσιον] παραθάλασσαν F || 21 ὠρύοντο] ὁροιῶντο F || ἕτοιμον] ἑτοιμοι E || 22 ἐνάτῃ

